ἐπειδήπερ οὐκ ἴσχυεν·

since not it-was-able

ἀλλ' οὔτε προφητῶν,

but neither of-(the)-prophets

καθότι καὶ οὗτοι,

because also these(-are)

τὸ πλάσμα μου ὥσπερ καὶ σύ·

the creature my as also you

ἐμὸν δὲ τοῦτο, τὸ λῦσαί σε τοῦ χρέους

mine and this the to-loose you from-the debt

τοῦ βαρυτάτου·

the heaviest

πωλοῦμαι ὑπὲρ σοῦ,

I-am-sold for you

καὶ ἐλευθερῶ σε,

and I-free you

σταυροῦμαι ἀντὶ σοῦ,

I-am-crucified instead-of you

καὶ σὺ οὐ νεκροῦσαι,

and you not are-put-to-death

θνήσκω καὶ διδάσκω σε βοᾶν·

I-die and I-teach you to-cry

εὐλογημένος...

blessed

Μὴ γὰρ ἀγγέλους ἔστερξα, 14
Not for angels I-loved
σὲ τὸν πτωχὸν ἐφίλησα,
you the poor(-one) I-cherished
τὴν δόξαν μου ἔκρυψα,
the glory my I-hid
καὶ πένης ὁ πλούσιος
and poor the rich(-one)
φαίνομαι ἑκών·
I-appear willingly
πολὺ γάρ σε ποθῶν
greatly for you longing-for
ἐπείνασα, ἐδίψησα
I-hungered I-thirsted
διὰ σέ, καὶ ἐμόχθησα·
because-of you and I-toiled
ἐν ὄρεσι, κρημνοῖς
on mountains cliffs
καὶ νάπαις διῆλθον,
and glens I-passed-through
σὲ τὸν πλανώμενον ζητῶν
you the wandering(-one) seeking
ἀμνόν, ἐγενόμην (ὅπως τῇ φωνῇ μου
lamb I-became that with-the voice my
σὲ θέλξας ἄξω)
you having-charmed I-may-lead
ποιμήν, καὶ διὰ σέ,
shepherd and because-of you
ψυχὴν θέλω θεῖναι,
(my)-life I-wish to-lay-down

ἵνα σε τῆς χειρὸς
so-that you from-the hand
τοῦ λύκου ἁρπάσω,
of-the wolf I-may-snatch
πάντα πάσχω, θέλων σε βοᾶν·
all(-things) I-suffer wishing you to-cry
εὐλογημένος...
blessed

15 Ἀλλὰ μετὰ τὰ ῥήματα,
But after the words
ἐνδείκνυται τὰ πράγματα·
displays the deeds
τὴν πόλιν γὰρ ἔφθασε,
the city for he-reached
καὶ πάντας ἠρέθισε
and all provoked
τοὺς ἐχθροὺς αὐτοῦ
the enemies his
ὁ ὕμνος τῶν βρεφῶν·
the hymn of-the babes
ἐπάρας δὲ τὰ ὄμματα,
having-lifted and the eyes
τῇ Σιὼν ἐνητένισε,
— at-Zion he-gazed
καὶ θρῆνον κατ᾽ αὐτῆς
and (a)-lament against her
ὑφάνας ἐβόα·
having-woven cried

Στέναξον, Ἰερουσαλήμ,
Groan Jerusalem
εὗρες γὰρ παῖδας πατέρων διδασκάλους,
you-found for children of-fathers teachers
καὶ τοὺς υἱούς σου
and the sons your
νεάζεις τῷ κακῷ
you-are-young in-the evil
καὶ τῇ πονηρίᾳ,
and in-the wickedness
καὶ πρὸς τὸ ἀγαθὸν
and toward the good
οὐ γῆρας θαῤῥύνεις·
not old-age you-encourage
κρείττους σου οἱ κράζοντες ἐμοί·
better-than you the(-ones) crying-out to-me
Εὐλογημένος εἶ...
Blessed are-you

Νῦν δὲ ἐν σοὶ ἐλεύσομαι, 16
Now and on you I-will-come
καὶ ῥίψας σε ἀπώσομαι,
and having-cast-down you I-will-thrust-away
οὐχ ὅτι ἐμίσησα,
not that I-hated

ἀλλ᾽ ὅτι μισοῦσάν σε
but that hating you
νῦν κατέλαβον
now I-found
ἐμὲ καὶ τοὺς ἐμούς·
me and the mine
μοὶ σταυρὸν ἐπαγγέλλονται
to-me (a)-cross they-promise
ἀντὶ τίνος τὰ τέκνα σου;
in-return-for what the children your
ἀνθ᾽ ὧν τὴν θάλασσαν
in-return-for which the sea
τότ᾽ ἔῤῥηξα ῥάβδῳ;
then I-broke with-(a)-rod
πρὸ τούτων λατομῶσί μοι
for these they-hew for-me
τάφον, ἀνθ᾽ ὧν τὴν παρέσχον σκέπην νέφους;
(a)-tomb in-return-for which the I-gave shelter of-cloud
καὶ χαίρω, ὅτι
and I-rejoice that
δι᾽ αὐτοὺς ἦλυθον
because-of them I-came
καὶ τὸ παθεῖν στέργω
and the to-suffer I-accept
τὸν πεσόντα ποθῶν,
the fallen(-one) longing-for

ἵνα οἱ ποθοῦντες
so-that the(-ones) longing
φῶσι καὶ κραυγάζωσιν ἐμοί·
may-say and may-cry-out to-me
Εὐλογημένος...
Blessed

Οὕτω τὴν νωθροκάρδιον 17
Thus the sluggish-hearted(-city)
ὁ βλέπων τὰ ἐγκάρδια
the(-one) seeing the(-things) in-the-heart
ἐλέγξας, εἰσέρχεται
having-reproved enters
σὺν πᾶσι τοῖς βρέφεσιν
with all the babes
ἐν τῷ ἱερῷ,
into the temple
ὡς ὢν ἀρχιερεύς·
as being high-priest
ἐν οἴκῳ τοῦ Πατρὸς αὐτοῦ
into (the)-house of-the Father his
ὁ υἱὸς παρεγένετο,
the son came
καὶ ἔξω ἔβαλεν
and out cast
ὁμοῦ τοὺς πωλοῦντας
together the(-ones) selling
καὶ ἀγοράζοντας, εἰπών·
and buying saying

Μηδὲν μένῃ ἔνθα, μεταβαίνομεν γὰρ
Nothing let-remain here we-move for
ἐντεῦθεν ἐγὼ
hence I
καὶ ὁ Πατὴρ ἐμοῦ,
and the Father my
καὶ τόπους σκηνάς τε
and places dwellings both
εὐτρεπισόμεθα,
we-will-prepare
τοῖς εὐσεβεῖ πόθῳ
for-the(-ones) with-pious longing
καὶ πίστει βεβαίᾳ κράζουσιν·
and with-faith firm crying-out
Εὐλογημένος...
Blessed

18 Υἱὲ Θεοῦ, πανάγιε,
Son of-God all-holy(-one)
μετὰ τῶν ὑμνησάντων σε
with the(-ones) having-hymned you
ἡμᾶς συναρίθμησον,
us number-together
καὶ δέξαι τὴν δέησιν
and receive the prayer
τῶν σου ἱκετῶν,
of-the your suppliants
ὡς τῶν παίδων ποτέ·
as of-the children once

ἐλέησον οὓς ἔπλασας,

have-mercy-on whom you-fashioned

οὓς φιλῶν ἀπεδήμησας·

whom loving you-went-abroad

εἰρήνην δώρησαι

peace grant

ταῖς σαῖς ἐκκλησίαις,

to-the your churches

σαλευομέναις ὑπ᾽ ἐχθρῶν·

shaken by enemies

καὶ ἐμοὶ τὴν λύσιν κατάπεμψον, σωτήρ,

and to-me the release send-down savior

ἁμαρτιῶν μου·

of-sins my

παράσχου μοι λαλεῖν

grant me to-speak

ἃ θέλεις, Θεός μου·

what you-will God my

μὴ νωθρόν μου τὸν νοῦν

not sluggish my the mind

ἡ λύπη ποιήσῃ·

the grief may-make

δεῖξόν με καλλίκαρπον, ἐπεὶ

show me fair-fruited since

εὐλογημένος εἶ ὁ ἐρχόμενος

blessed are-you the(-one) coming

τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

— Adam to-recall

Having finished the fast, the faithful are urged to emulate the chaste Joseph, and virtue is praised as the art of arts and the soul's armor. Sold by his brothers' envy, Joseph is a slave in body but free in mind, honored by his master and desired by his mistress. The Devil helps the woman bait the young man with her beauty; she reminds him he is her bought slave and promises him riches, then sends the household away. Joseph answers that nobility is not dyed with ink, that he will not taste the tree Eve offered, and that the judge who sees all is present though her husband is absent. When she seizes his tunic, he leaves the garment torn rather than his body corrupted, to receive a robe of incorruption from God.

1 Οἱ τὸ στάδιον τῶν νηστειῶν
The(-ones) the course of-the fasts
πανσόφως διανύσαντες,
all-wisely having-completed
καὶ τὴν ἔναρξιν τοῦ πάθους τοῦ Κυρίου
and the beginning of-the passion of-the Lord
ἐν πόθῳ ποιούμενοι,
in longing making
δεῦτε, πάντες ἀδελφοί,
come all brothers
τὴν τοῦ σώφρονος ἁγίαν
the of-the chaste holy
Ἰωσὴφ σπουδὴν ζηλώσωμεν·
Joseph zeal let-us-emulate
τῆς δὲ συκῆς τὴν ἀκαρπίαν φοβηθέντες,
of-the and fig-tree the barrenness having-feared
τῶν παθῶν ξηράνωμεν
the passions let-us-dry-up
δι' ἐλεημοσύνης τὴν ἡδύτητα,
through almsgiving the sweetness

ἵνα καὶ τὴν ἔγερσιν
so-that also the rising
ἐνθύμως προφθάσαντες,
earnestly having-anticipated
ὡς μύρα κομισώμεθα
as ointments we-may-carry-off
ἐξ ὕψους τὴν συγχώρησιν,
from on-high the forgiveness
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Τοὺς τὸ πάθος σου πεφθακότας 2
Those the passion your having-reached
καὶ τὴν ἔγερσιν,
and the rising
προσκυνῆσαι ἀξίωσον, σωτήρ,
to-worship deem-worthy savior
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Ἔχοντες βασιλέα, 3
Having (a)-king
οὐρανῶν βασιλείαν
of-heavens (the)-kingdom
διδόντα τοῖς αὐτοῦ στρατιώταις,
giving to-the his soldiers

ἐνδυσώμεθα τὴν ἀρετήν,
let-us-put-on the virtue
πανοπλίαν οὖσαν
(the)-full-armor being
τῶν ψυχῶν ἄτρεπτον·
of-the souls unchangeable
ἵνα καὶ πολεμήσωμεν
so-that also we-may-war
ἐν ταύτῃ ἐχθρὰν ἁμαρτίαν·
in this (against)-hostile sin
τίνα οὖν τὴν ἀρετὴν νοοῦμεν;
what then the virtue do-we-understand
φιλοσοφίαν ὁρῶμεν ταύτην·
philosophy we-see this
τέχνη γάρ ἐστι τῶν τεχνῶν, ὡς ἀκούομεν,
art for it-is of-the arts as we-hear
τῶν ἐπιστημῶν ἐπιστήμη τυγχάνουσα·
of-the sciences (the)-science being
δι᾽ αὐτῆς, ὡς διὰ κλίμακος,
through it as through (a)-ladder
χειραγωγεῖται ψυχή,
is-led-by-the-hand (the)-soul
καὶ πρὸς ὕψος ἀναφέρεται
and to (the)-height is-borne-up
τῆς οὐρανίου ζωῆς·
of-the heavenly life
φρόνησιν καὶ ἀνδρείαν
prudence and courage
τοὺς ἀνθρώπους διδάσκει,
the men it-teaches

ἔτι δὲ σωφροσύνην,
further and temperance
καὶ τὴν δικαιοσύνην·
and the justice
τούτοις ἡμᾶς
with-these us
τοῖς ὅπλοις τειχίσωμεν,
the arms let-us-wall
καὶ τοῦ Χριστοῦ
and — of-Christ
τὴν χάριν αἰτήσωμεν·
the grace let-us-ask
δίδωσι γὰρ
he-gives for
τοῖς αὐτὸν ἀγαπῶσι
to-the(-ones) him loving
τὴν κατ᾽ ἐχθρῶν
the against enemies
ἀναδήσασθαι νίκην,
to-wreathe victory
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Ἵνα μάθωμεν πάντες 4
So-that we-may-learn all
τὴν ὑπέρλαμπρον δόξαν,
the surpassingly-bright glory

ἣν ἔχει ὁ σοφὸς καὶ παρέχει,
which has the wise(-man) and affords
τὴν ὑπόθεσιν τοῦ Ἰωσὴφ
the story — of-Joseph
ἐνεγκεῖν εἰς μέσον,
to-bring into (the)-midst
εἰ δοκεῖ, σπεύσωμεν,
if it-seems(-good) let-us-hasten
καὶ βίον φιλοσώφρονα
and (a)-life loving-chastity
κτησώμεθα δι' ἐγκρατείας.
let-us-acquire through self-control
Οὗτος πραθεὶς διὰ πάθους φθόνου,
This(-man) sold through (the)-passion of-envy
δοῦλος παθῶν οὐδαμῶς εὑρέθη·
slave of-passions in-no-way was-found
εἶχε γὰρ τὸν νοῦν ὁ σοφὸς αὐτοκράτορα,
he-had for the mind the wise(-man) (as)-autocrat
καὶ τῶν φιλοσάρκων παθῶν κατεκράτησε·
and of-the flesh-loving passions he-got-the-mastery
διὰ τοῦτο οὐκ ἐσείετο
because-of this not was-shaken
κολακείαις γυναικός,
by-flatteries of-(a)-woman
ἀλλὰ ταύτης ἀπεσείετο
but of-her shook-off
τὰς θωπείας ἀνδρικῶς·
the blandishments manfully

ἔπεμπεν οὖν ἐκείνη
sent then she
ὡς ἀνέμους τοὺς λόγους,
as winds the words
ἵνα τῆς σωφροσύνης
so-that of-the chastity
καταλύσῃ τὸν οἶκον,
she-might-pull-down the house
καὶ ὡς βροχὴν
and as rain
τὴν μέθην κατέχεε,
the drunkenness poured-down
καὶ ποταμοὺς
and rivers
χρημάτων προσέφερε·
of-money offered
νέος δὲ ὤν,
young but being
Ἰωσὴφ ὁ γενναῖος
Joseph the noble
ἦν ἑστηκὼς
was standing
στερεὸς ἐπὶ πέτραν,
firm upon (the)-rock
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Σῶμα μὲν ἐδουλώθη,
(His)-body indeed was-enslaved
τὸ δὲ φρόνημα εἶχεν
the but mind had
ἀδούλωτον ὁ σώφρων ἐκεῖνος·
unenslaved the chaste that(-man)
ὁ κατ᾽ ὄναρ φανεὶς βασιλεύς,
the(-one) in (a)-dream having-appeared king
ὃς καθάπερ δοῦλος
who like (a)-slave
ὠνητὸς γέγονεν·
bought became
ἀλλ᾽ ὅμως καὶ κρατούμενος,
but nevertheless also held
ἐκράτησε κεκρατηκότα·
he-mastered the(-one)-having-mastered(-him)
ὑπὸ δεσπότου μὲν ἐτιμᾶτο,
by (his)-master indeed he-was-honored
ὑπὸ δεσποίνης δὲ ἐποθεῖτο·
by (his)-mistress but he-was-desired
ἦν μὲν ἀγαθὴ τοῦ δεσπότου ἡ εὔνοια·
was indeed good of-the master the goodwill
ἄχρηστος δὲ λίαν ἡ ταύτης διάνοια·
worthless but very the her mind
ἔστεργε διὰ σεμνότητα
cherished because-of (his)-dignity
ὁ ἀνὴρ τὸν Ἰωσήφ·
the husband — Joseph

ἔθαλπε διὰ φαυλότητα

warmed because-of (her)-baseness

ἡ γυνὴ τὸν εὐγενῆ·

the wife the noble(-one)

ἔτερπε μὲν ἐκεῖνον

delighted indeed him

ἀγαθότης τοῦ τρόπου·

(the)-goodness of-the manner

ἔτρωσε δὲ ἐκείνην

wounded but her

ὡραιότης προσώπου·

(the)-beauty of-face

οὗτος αὐτῷ

he to-him

τὸν οἶκον παρέδωκεν,

the house handed-over

αὐτὴ αἰσχρῶς

she shamefully

τὸ σῶμα ἀπέδωκεν·

the body gave-over

ὅπερ ἰδὼν

which-very having-seen

Ἰωσὴφ ἀπεστράφη,

Joseph turned-away

τὴν φοβερὰν

the dread

ἐνθυμούμενος κρίσιν,

pondering judgment

ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

6 Τῶν πραγμάτων τὴν τάξιν
Of-the affairs the order
ἡ παράνομος πρᾶξις
the lawless deed
ἀπέστρεφε πρὸς τὸ ἐναντίον·
turned to the contrary
ὁ μὲν δοῦλος ἐκράτει παθῶν,
the indeed slave mastered passions
ὡς δεσπότης πάσης
as master of-all
ἡδονῆς τέλειος·
pleasure perfect
ἡ δέσποινα δὲ γέγονεν
the mistress but became
ἀνδράποδον τῆς ἁμαρτίας.
(a)-slave of-the sin
πᾶς γὰρ ὁ πράττων τὴν ἁμαρτίαν,
everyone for the(-one) doing the sin
δοῦλος ὑπάρχει τῆς ἁμαρτίας,
slave is of-the sin
πάντα μὲν τὰ ἄλλα, ὡς ὄναρ, ἡγούμενος,
all indeed the other(-things) as (a)-dream reckoning
πρὸς δὲ τὸ ποθούμενον ὅλως ἑλκόμενος,
to but the(-thing) desired wholly being-drawn

ὥσπερ ἔπαθεν ἡ δέσποινα
as suffered the mistress
τοῦ δικαίου Ἰωσήφ,
of-the just Joseph
πρὸς ἐκείνην τὴν ἐπέραστον
toward that the lovely
εὐμορφίαν τοῦ παιδός·
comeliness of-the youth
βλέπουσα γὰρ τὸν νέον
seeing for the young(-man)
ὀφθαλμοῖς ἀκαθάρτοις,
with-eyes impure
βέλεσιν ἀκολάστοις
with-darts licentious
τὴν ψυχὴν ἐκολάσθη·
in-the soul she-was-punished
ὅσον αὐτὸς
as-much-as he
τῷ κάλλει ἐξέλαμπε,
in-the beauty shone-forth
ταύτης ὁ νοῦς
her the mind
τοσοῦτον ἐξέλειπεν·
so-much failed
αὕτη πυρὸς
she of-fire
ἡδονὴν προσετίθει,
pleasure added

οὗτος δὲ πῦρ
he but fire
ἄσβεστον ἀντετίθει,
unquenchable set-against(-it)
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

7 Ὅλην τῆς Αἰγυπτίας
Whole of-the Egyptian(-woman)
τὴν καρδίαν συνεῖχεν
the heart held-fast
ἡ τῆς ἐπιθυμίας μανία,
the of-the desire madness
καὶ πλαγεῖσα κρυφίαν πληγήν,
and struck (a)-secret blow
ὑπεδέχετο μὲν
received indeed
τὰ πικρὰ τραύματα,
the bitter wounds
γλυκέα δὲ ἐνόμιζε
sweet but she-thought
τὰ θραύματα, ὡς μαινομένη·
the bruises as raving
δι᾽ ὀφθαλμῶν δεχομένη βέλη
through eyes receiving darts
ἀπὸ τῆς σώφρονος βελοθήκης,
from the chaste quiver

καὶ τιτρώσκουσα τὴν καρδίαν τὴν ἑαυτῆς,
and wounding the heart the her-own
τέρψιν ὑπενόει τὴν τρῶσιν ἡ τάλαινα·
delight she-supposed the wounding the wretched(-woman)
ὁ μὲν πόθος ὁ ἀκόλαστος
the indeed longing the licentious
ἐπολιόρκει τὸν νοῦν.
besieged the mind
Τὸ δὲ πάθος οὐκ ἠδύνατο
The but passion not could
φανερῶσαι τὸ αὐτῆς·
to-make-manifest the her
αὕτη γὰρ καὶ παρόντος
she for both present
Ἰωσὴφ ὠδυνᾶτο,
Joseph was-pained
πάλιν δὲ καὶ ἀπόντος
again and also absent
κατεφλέγετο πλέον·
was-inflamed more
λόγοις αὐτὸν
with-words him
πολλοῖς ἐκολάκευε,
many she-flattered
πεῖραν αὐτοῦ
trial of-him
λαβεῖν κατασπεύδουσα·
to-take hastening

ὁ δὲ σεμνὸς
the but chaste
Ἰωσὴφ παρῃτεῖτο
Joseph refused
τῆς γυναικὸς
of-the woman
τὴν ἀθέμιτον πρᾶξιν,
the unlawful deed
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

8 Νυμφοστόλος μοιχείας
Bridesman of-adultery
ὁ διάβολος ἦλθεν
the devil came
ἵνα τῇ Αἰγυπτίᾳ συμπράξῃ·
so-that with-the Egyptian(-woman) he-might-act-together
Καὶ ἀνδρίζου, ὦ γύναι, φησίν·
And be-manly O woman he-says
ὡς ἀρχαῖον οὖσα
as ancient being
καὶ στερῥὸν ἄγκιστρον,
and stout hook
ἑτοίμασον τὸ δέλεαρ,
prepare the bait
καὶ θήρευσον τὸν νεανίαν·
and hunt the young-man

τοὺς μὲν πλοκάμους τῆς κεφαλῆς σου
the indeed locks of-the head your
πλέξον, ὡς δίκτυα, κατὰ τούτου·
plait as nets against him
τὴν δὲ τοῦ προσώπου μορφὴν κατακάλλυνον,
the and of-the face form beautify
πᾶσι ῥοδοχρόοις κοσμοῦσα σοφίσμασι·
with-all rose-colored adorning devices
φαίδρυνόν σου καὶ τὸν τράχηλον
make-bright your also the neck
τοῖς χρυσοπλόκοις δεσμοῖς,
with-the gold-plaited bonds
ἐπὶ πᾶσιν ἀμφιάσθητι
upon all put-on
πολυτίμητον στολήν,
(a)-very-costly robe
μύροις ἄλειψαι πλείστοις
with-ointments anoint(-yourself) very-many
ἐκθηλύνουσι νέους·
making-effeminate young(-men)
πρόκεινται γὰρ ἀγῶνες
lie-before(-us) for contests
ἰσχυροὶ καὶ γενναῖοι·
strong and noble
οὗτος μὲν σοὶ
he indeed to-you
ἁγνείαν ἀντέστησε,
purity set-against

σὺ δὲ αὐτῷ
you and to-him
λαγνείαν ἀντίστησον,
lust set-against
μὴ νικηθῇς,
not be-conquered
καὶ καταγελασθῶμεν,
and we-be-laughed-at
λέξει γάρ σοι·
he-will-say for to-you
Οὐ ποιήσω ὃ θέλεις,
Not I-will-do what you-wish
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

9 Εἶδεν ἄσεμνον ὄψιν
Saw (an)-unseemly face
ὁ σεμνὸς νεανίας,
the seemly young-man
καὶ μᾶλλον ἐβδελύξατο ταύτην·
and more loathed her
ἐθεώρει μορφὴν ἱλαράν,
he-beheld (a)-form cheerful
ἀλλ' ἐνόει γνώμην
but he-perceived (a)-mind
δολερὰν ἔσωθεν,
treacherous within

σπεύσας καὶ ταύτην ἔφυγεν,
hastening also her he-fled
ὡς ἔχιδναν ἐγκεκρυμμένην·
as (a)-viper hidden
ὅθεν μὴ φέρουσα ἡ ἀθλία
whence not bearing the wretched(-woman)
τὴν περιφρόνησιν τοῦ γενναίου,
the contempt of-the noble(-one)
πᾶσαν τὴν αἰδῶ τῆς καρδίας ἀπέῤῥιψε,
all the shame of-the heart cast-away
καὶ τὴν ἑαυτῆς ἀσωτείαν ἐγύμνωσε·
and the her-own profligacy laid-bare
πρῶτον μὲν γὰρ ἐθεράπευσε
first indeed for she-courted(-him)
διὰ μέσης γυναικός,
through (a)-middle woman
καὶ αὐτὴ δὴ μετεπέμπετο,
and she indeed summoned(-him)
καὶ ἐλάλει μετ᾽ αὐτοῦ·
and spoke with him
γλῶτταν εἶχεν ὀξεῖαν
(a)-tongue she-had sharp
ὑπὲρ μάχαιραν οὖσαν,
beyond (a)-sword being
καὶ διὰ ἁμαρτίας
and through sin
ἀναιροῦσα τὸν νέον,
destroying the young(-man)

τέχναις αὐτὸν
by-arts him
πολλαῖς ἐγοήτευεν,
many she-bewitched
ἀλλὰ τὸν νοῦν
but the mind
αὐτοῦ οὐ παρέτρεψεν·
his not she-turned-aside
ἔλεγε γάρ·
he-said for
Οὐ ποιήσω τὸ μύσος,
Not I-will-do the abomination
ἔχων ἀεὶ
having always
πρὸς τὰ φαῦλα τὸ μῖσος,
toward the base(-things) the hatred
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

10 Ὢ μανίας ἐσχάτης
O madness extreme
γυναικὸς ἀκολάστου,
of-(a)-woman licentious
ἐπὶ τοῦ Ἰωσὴφ ἐκφλεχθείσης!
for — Joseph inflamed

ἐπειδὴ γὰρ κατεῖδεν αὐτὸν
when for she-saw him
ταῖς αὐτῆς θωπείαις
to-the her blandishments
οὐδαμῶς εἴκοντα,
in-no-way yielding
μὴ πάθεσι νεότητος
not by-passions of-youth
ἡττώμενον, ἐβόα τούτῳ·
being-defeated she-cried to-him
Δοῦλος ἐμὸς ὠνητὸς ὑπάρχεις,
Slave my bought you-are
πέπρασαι μοί, ἵνα μοί δουλεύῃς·
you-were-sold to-me so-that me you-may-serve
ὅλου σε δεσπότην τοῦ οἴκου πεποίηκα,
of-the-whole you master of-the house I-have-made
γενοῦ δὲ κἀμοῦ τῆς κυρίας σου κύριος·
become and of-me-also the lady your lord
οὐ λογίζομαι ὑβρίζεσθαι,
not I-reckon to-be-outraged
καταβαίνουσα πρὸς σέ·
coming-down to you
δεσποτείας καὶ δουλείας γὰρ
of-mastery and of-slavery for
οὐκ ἔστι διαφορά,
not is difference
ἕνα πάντων πατέρα
one of-all father
τὸν Ἀδὰμ ἐδιδάχθην,
— Adam I-was-taught

μίαν πάντων μητέρα
one of-all mother
τὴν ἀρχέγονον Εὖαν·
the primal Eve
πάντες ἐσμὲν
all we-are
ἀλλήλων ὁμότιμοι,
of-one-another of-equal-honor
ὡς τῆς αὐτῆς
as of-the same
μετέχοντες φύσεως·
partaking nature
μὴ φοβηθῇς
not fear
ὡς ἀθέμιτα πράττων,
as unlawful(-things) doing
μηδὲ πεισθῇς
nor be-persuaded
τοῖς λαλοῦσί σοι ταῦτα,
by-the(-ones) telling you these(-things)
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

11 Σοῦ τοὺς τρόπους ὁρῶσα
Your the ways seeing
κοσμουμένους ἐν πᾶσι,
adorned in all

τῶν ἄλλων προτιμῶ σε συνδούλων·
above-the other I-prefer you fellow-slaves
ἐν τοῖς ὄμμασι γὰρ τὴν αἰδῶ
in the eyes for the modesty
καὶ τοῖς χείλεσί σου,
and the lips your
ὡς ποθῶ, κέκτησαι,
as I-long-for you-have-acquired
καὶ πᾶσαν ἔχεις αἴσθησιν
and all you-have sense
εὐσχήμονα, καθάπερ θέλω·
graceful as I-wish
δεῦρο, ἐπάκουσον τῆς φωνῆς μου,
come listen-to the voice my
ἵνα σοι δείξω τὴν πρόθεσίν μου,
so-that to-you I-may-show the purpose my
πλείστων γὰρ καλῶν σε ἐμπλήσω πεισθέντα μοι,
with-very-many for goods you I-will-fill persuaded by-me
καὶ δωροδοκίαις πλουσίαις ἀμείψομαι·
and with-bribes rich I-will-requite(-you)
σὲ γὰρ πλεῖον παραθήσομαι
you for more I-will-commend
τῷ συμβίῳ τῷ ἐμῷ,
to-the husband the my
καὶ γενέσθαι σε ἐλεύθερον
and to-become you free
κατασπεύσω παρ᾽ αὐτοῦ·
I-will-hasten from him
δοῦλος γὰρ οὐ κληθήσῃ,
slave for not you-will-be-called

συγκαθεύδων δεσποίνῃ·
sleeping-with (your)-mistress
ἐὰν δὲ μὴ πεισθῇς μοι,
if but not you-are-persuaded by-me
κινδυνεύσεις δικαίως,
you-will-be-in-danger justly
σὲ γὰρ πικροῖς
you for to-bitter
δεσμοῖς παραδίδωμι,
bonds I-hand-over
τοῖς ὑπ᾽ ἐμοὶ
to-the under me
οἰκέταις, ὦ φίλτατε!
servants O dearest
μὴ οὖν σαυτὸν
not then yourself
ἀδικῆσαι θελήσῃς,
to-wrong wish
οὐ γάρ ἐστιν
not for it-is
ἀληθές, ὡς νομίζεις, ὅτι πάντα ἐφορᾷ
true as you-think that all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Ἡ γυνὴ μὲν τοιαῦτα· 12
The woman indeed such(-things)
ἀλλ᾽ οὐκ ἴσχυσεν ὅλως
but not was-able at-all
σαλεῦσαι τὸν ἀσάλευτον πύργον·
to-shake the unshakable tower
κολακείαις οὐκ ἐνύσταξε,
by-flatteries not he-dozed
ἀλλὰ μᾶλλον εἶχε
but rather he-had
λογισμὸν ἄγρυπνον,
(a)-reckoning wakeful
καὶ ἄσυλον ἐφύλαξε
and inviolate guarded
τὸ καύχημα τῆς σωφροσύνης·
the boast of-the chastity
ἔνθεν κἀκεῖθεν περισκοποῦσαν
hither and-thither looking-around
ταύτην ἑώρα τὴν μαινομένην·
her he-saw the raving(-woman)
ἅπαντας τοὺς ἄλλους τοῦ οἴκου ἐξέπεμψε,
all the other(-ones) of-the house she-sent-out
μόνη δὲ πρὸς μόνον τοιαῦτα ἐφθέγγετο·
alone and to (him)-alone such(-things) uttered
Ἕως πότε σου ἀνέξομαι
Until when you shall-I-bear
παρακούοντος ἐμοί;
disobeying me

νῦν καιρὸς τοῦ ἀπολαῦσαί με
now (is-the)-time for-the to-enjoy me
τῆς ποθεινῆς ἡδονῆς,
of-the longed-for pleasure
οὐ γάρ ἐστιν ἐνταῦθα
not for is here
οὐδὲ εἷς τῶν τοῦ οἴκου,
not-even one of-the(-ones) of-the house
καὶ οὐδὲν ἐμποδίζει
and nothing hinders
τοῦ γενέσθαι ὃ λέγω.
the to-happen what I-say
Βέλη πυρὸς
Darts of-fire
αὐτῷ κατηκόντισεν,
at-him she-hurled
ἀλλ' οὐδαμῶς
but in-no-way
αὐτὸν κατεφλόγισεν·
him she-set-ablaze
ἔσωθεν γὰρ
from-within for
σωφροσύνην πηγάζων,
chastity gushing
τὰς πονηρὰς
the wicked
ὁμιλίας ἐσβέννυ,
converse he-quenched

ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Φθεγγομένης τοιαῦτα 13
Uttering such(-things)
τῆς μαινάδος ἐκείνης,
the maenad that
καὶ καταθωπευούσης τὸν νέον,
and cajoling the young(-man)
εἰς τὰ σκάμματα τῶν πειρασμῶν
into the arenas of-the trials
Ἰωσὴφ ὁ μέγας
Joseph the great
ἀθλητὴς ἔρχεται,
athlete comes
πολύμορφον ἀντίπαλον
(a)-many-formed opponent
βουλόμενος ἀντιπαλαῖσαι·
wishing to-wrestle-against
καὶ βραβευταὶ συνεισῆλθον δύο,
and umpires entered-with(-him) two
καὶ παρεστήκεισαν ἀμφοτέροις·
and stood-by both
τῷ μὲν Ἰωσὴφ ἡ ἁγνεία συνίστατο,
— indeed with-Joseph the purity stood
τῇ δὲ γυναικὶ ἡ λαγνεία προϊστατο,
with-the but woman the lust presided

μέσον τούτων ἠγωνίζετο
between these contended
ὁ φιλοσώφρων ἀνήρ,
the chastity-loving man
πρὸς αὐτὸν ἀντηγωνίζετο
against him contended-against
ἡ δολιόφρων γυνή·
the deceitful-minded woman
ἔθελγε μὲν ἐκείνη
charmed indeed she
πρὸς μοιχείαν καλοῦσα,
to adultery calling
ἤθελε δὲ νικῆσαι
wished and to-conquer
τὴν αἰσχρὰν ὁ γενναῖος·
the shameful(-one) the noble(-one)
τῷ Ἰωσὴφ
— with-Joseph
συνέπραττον ἄγγελοι,
worked-together angels
τῇ γυναικὶ
with-the woman
συνέτρεχον δαίμονες·
ran-together demons
ἄνωθεν δὲ
from-above and
θεωρῶν ὁ δεσπότης,
beholding the master

τὸν νικητὴν
the victor
ἔστεφε τοῖς ἐπαίνοις,
crowned with-the praises
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Ῥήματα σωφροσύνης 14
Words of-chastity
Ἰωσὴφ ἀπεκρίθη
Joseph answered
πρὸς τὴν παραφρονοῦσαν βοήσας·
to the(-woman) raving having-cried
Σὸς μὲν δοῦλός εἰμι ὠνητός,
Your indeed slave I-am bought
διὰ φθόνον τοῦτο
because-of envy this
πεπονθὼς ἄδικον·
having-suffered unjust(-thing)
κἂν πέπραμαι δὲ σώματι,
even-if I-have-been-sold and in-body
ἐλεύθερος πέλω τῇ γνώμῃ.
free I-am in-the mind
Τὴν γὰρ εὐγένειαν τὴν τῶν τρόπων
The for nobility the of-the ways
χάρτης καὶ μέλαν οὐκ οἶδε βάψαι.
paper and ink not know-how to-dye

Ὥσπερ ἡ ἀχλὺς τὸν ἀέρα σκοτίζουσα,
As the mist the air darkening
τὴν ἡλιακὴν οὐκ ἀμβλύνει λαμπρότητα·
the solar not dulls brightness
ὡς γὰρ νέφος ἀπελαύνεται,
as for (a)-cloud is-driven-away
ὑπ᾽ ἀνέμου διωχθέν,
by wind pursued
τοῦ ἡλίου δὲ μετέπειτα
of-the sun and afterward
καταλάμπουσιν αὐγαί·
shine-down (the)-rays
οὕτω καὶ ἡ δουλεία
so also the slavery
παρελεύσεται αὕτη,
will-pass-away this
καὶ ἡ ἐλευθερία
and the freedom
ἡ ἐμὴ ἀναλάμψει.
the my will-shine-forth
Πᾶσα ἡ γῆ
All the land
Αἰγύπτου δουλεύσει μοι,
of-Egypt will-serve me
τῷ ἡδοναῖς
the(-one) to-pleasures
αἰσχραῖς μὴ δουλεύοντι·
shameful not serving

τοῦτο γάρ μοι
this for to-me
προεμήνυσε πάλαι
foretold long-ago
ὁ προειδὼς
the(-one) foreseeing
τὰ ἐσόμενα μόνος,
the(-things) to-be alone
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Ὡς ἀκήκοε ταῦτα 15
When she-heard these(-things)
προσλαλοῦντος τοῦ νέου,
speaking the young(-man)
καὶ πάλιν κολακεύειν πειρᾶται,
also again to-flatter she-tries
καὶ τοιαῦτα πρὸς αὐτόν φησιν·
and such(-things) to him says
Ὅτι δούλου τρόπους
That of-(a)-slave (the)-ways
οὐδαμῶς κέκτησαι,
in-no-way you-have-acquired
δι᾽ ἔργων τοῦτο ἔμαθον,
through deeds this I-learned
καὶ πέπεισμαι καὶ μαρτυρῶ σοι,
and I-am-persuaded and I-bear-witness to-you

καὶ γὰρ τὴν πρέπουσαν ἐλευθέροις
also for the befitting free(-men)
σὺ ἐξετέλεσας λειτουργίαν·
you accomplished service
γέγονας ἐν πᾶσι τοῖς ἔργοις σου ἄμεμπτος,
you-have-become in all the works your blameless
καὶ πρὸς τοὺς συνδούλους τοὺς σοὺς ἀκακούργητος,
and toward the fellow-slaves the your harmless
ὅθεν φαίνῃ καταγόμενος
whence you-appear descended
ἐκ γονέων εὐγενῶν.
from parents noble
Διὰ τοῦτο καὶ ἐλήλυθας
Because-of this also you-have-come
εἰς τὰς χεῖρας τὰς ἐμάς,
into the hands the my
ἵνα γένωμαι πλείστων
so-that I-may-become of-very-many
ἀγαθῶν ἀρχηγός σοι·
goods (the)-leader for-you
καὶ ἡ χώρα Αἰγύπτου
and the land of-Egypt
δι' ἐμοῦ σοι δουλεύσει·
through me you will-serve
μόνον ἐμὲ
only me
τὴν νῦν σου δεσπόζουσαν,
the(-woman) now you mastering

καὶ τὴν πρὸς σὲ
and the(-woman) toward you
στοργὴν διασώζουσαν,
affection preserving
δέξαι λοιπὸν
receive henceforth
εἰς κοινὴν εὐφροσύνην,
into common joy
καὶ μὴ πτοοῦ,
and not be-terrified
λογιζόμενος πάλιν
reckoning again
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Μετὰ τούτους τοὺς λόγους, 16
After these the words
Ἰωσὴφ ἀντιλέγει
Joseph replies
πρὸς τὴν ἀσελγεστάτην ἐκείνην·
to the most-licentious that(-woman)
Ἀληθὲς μὲν ὃ λέγεις ἐστίν,
True indeed what you-say is
ὅτι ῥίζης πέλω
that of-(a)-root I-am
ἀγαθῆς βλάστημα·
good (the)-shoot

ὡς ἄλογον δὲ βλέπω σε,
as without-reason but I-see you
καὶ φεύγω σου τὴν συνουσίαν.
and I-flee your the intercourse
Ὅταν γάρ τις λογισμὸν οὐκ ἔχῃ,
When for anyone reckoning not has
τὸν χαλινοῦντα αὐτοῦ τὸν βίον,
the(-one) bridling his the life
δίκην ἀλογίστων κτηνῶν περιφέρεται,
like irrational beasts he-is-carried-about
καὶ εἰς ἀπρεπεῖς ἡδονὰς παραφέρεται·
and into unseemly pleasures is-carried-away
διὰ τοῦτο οὐκ ἀνέχομαι
because-of this not I-endure
τῶν φιλοσάρκων παθῶν,
the flesh-loving passions
ἀλλὰ τούτων τὰ σκιρτήματα
but of-these the leapings
δι᾽ ἐγκρατείας κρατῶ,
through self-control I-master
μέχρι νῦν καθαρεύω
until now I-am-pure
ἀπὸ μύσους τοιούτου,
from abomination such
ἄρτι διὰ μοιχείας
now through adultery
οὐ ῥυπῶ μου τὸ σῶμα,
not I-defile my the body

ἔστι μοι γὰρ
it-is to-me for
βαρὺ καὶ ἀθέμιτον,
grievous and unlawful
γάμον ἀνδρὸς
(the)-marriage of-(a)-man
συλῆσαι ἀλλότριον·
to-rob another's
μεῖζον δέ μοι
greater and to-me
καταφαίνεται κρῖμα,
appears (the)-judgment
καὶ τὴν εὐνὴν
and the bed
τοῦ δεσπότου ὑβρίσαι,
of-the master to-outrage
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Ἄκουσον, νεανία, 17
Hear young-man
ἡ γυνὴ ἀπεκρίθη
the woman answered
πρὸς τὸν τῆς σωφροσύνης ἐργάτην.
to the of-the chastity worker

Ὁ δεσπότης, ὡς οἶδας, ὁ σὸς
The master as you-know the your
καταπείθεταί μοι
is-persuaded by-me
τῇ βουλῇ πάντοτε,
in-the counsel always
καὶ δύναμαι κακῶσαί σε,
and I-am-able to-harm you
καὶ πάλιν παραθέσθαι τούτῳ.
and again to-commend(-you) to-him
Ἔχει ἐν σοὶ ἀγαθὰς ἐλπίδας,
He-has in you good hopes
ἐκ τῆς προλήψεως τῆς προτέρας·
from the opinion the former
στέργει καὶ ἐμέ, ὡς ἀεὶ σωφρονήσασαν,
he-loves also me as always having-been-chaste
μέχρι γὰρ τοῦ νῦν ἀκατάγνωστος ἔμεινα·
until for the now uncondemned I-remained
τοῦ δεσπότου οὖν, ὡς εἴρηκα,
the master then as I-have-said
πεποιθότος ἐφ' ἡμῖν,
trusting in us
οὐδενὸς δὲ τὸ πραττόμενον
no-one and the(-thing) being-done
θεωροῦντος ἐπὶ γῆς,
beholding on earth
τί ὀκνεῖς πειθαρχῆσαι
why do-you-hesitate to-obey
τῇ ἐμῇ παρακλήσει;
the my entreaty

ἦ οὐ καταξιώσεις
truly not will-you-deign
τὰς ἐμὰς παρακλήσεις;
the my entreaties
τοῖχοι ἡμᾶς
walls us
καλύπτουσι πάντοθεν,
cover from-all-sides
ἄνωθεν δὲ
from-above and
ἡ στέγη ἐπίκειται,
the roof lies-over(-us)
μὴ οὖν φοβοῦ,
not then fear
οὗ οὐκ ἔστι σοι φόβος,
where not is for-you fear
μὴ πτοηθῇς,
not be-terrified
ἐνθυμούμενος πάλιν
pondering again
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

18 Νουθετῆσαι σπουδάζων
To-admonish hastening
τὴν ἀθλίαν ἐκείνην
the wretched that(-woman)
ὁ σώφρων Ἰωσὴφ ἀπεκρίθη·
the chaste Joseph answered
Μὴ συμβούλευέ μοι πονηρά,
Not counsel me wicked(-things)
ὡς ἡ Εὖα πάλαι
as — Eve of-old
τῷ Ἀδάμ· ἄπαγε,
— to-Adam away
τοῦ ξύλου γὰρ οὐ γεύσομαι,
of-the wood for not I-will-taste
τοῦ θάνατόν μοι προξενοῦντος.
of-the(-one) death to-me procuring
Ἔχω παράδεισον τὴν ἁγνείαν,
I-have (a)-paradise the purity
πᾶσαν βλαστάνουσαν εὐωδίαν.
all sprouting fragrance
Τί γὰρ τῆς ἁγνείας ἐστὶ θαυμαστότερον;
What for than-the purity is more-wonderful
ἣν οἱ κατορθοῦντες, ὡς ἄγγελοι λάμψουσι·
which the(-ones) achieving as angels will-shine
κἂν τὴν πρᾶξιν οὐ μὴ ἴδωσιν
even-if the deed not — they-see
οἱ οἰκοῦντες σὺν ἡμῖν,
the(-ones) dwelling with us
ὅτι ἄνθρωποι ὑπάρχουσι,
since men they-are

μὴ ὁρῶντες τὰ κρυπτά,
not seeing the hidden(-things)
ἀλλὰ τὸ συνειδός μου
but the conscience my
τὸν κατήγορον ἔχω·
(as)-the accuser I-have
εἴγε πρᾶξαι νομίσω
if-indeed to-do I-think
τὸ παράνομον ἔργον,
the lawless deed
καὶ εἰ μηδεὶς
and if no-one
ἐλέγξει μοιχεύσαντα,
will-convict (me)-having-committed-adultery
ἔχω κριτὴν
I-have (a)-judge
ἐλέγχου μὴ χρήζοντα,
of-proof not needing
ὅνπερ ἀεὶ
whom-indeed always
ἐνθυμούμενος φρίττω,
pondering I-shudder
καὶ τὰς νυνὶ
and the present
ἡδονὰς ἀποφεύγω,
pleasures I-flee
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

19 Ὅταν σοι δὲ πιστεύσω,
When you and I-believe
ὅτι πάντοθεν τοῖχοι
that from-all-sides walls
καλύπτουσιν ἡμᾶς πλημμελοῦντας,
cover us sinning
καὶ οὐ βλέπει οὐδεὶς ἐπὶ γῆς
and not sees anyone on earth
ὅπερ θέλεις πρᾶξαι
what you-wish to-do
σὺν ἐμοὶ ἄδικον,
with me unjust(-thing)
τὸν βλέποντα τὰ κρύφια
the(-one) seeing the hidden(-things)
ποῦ φύγωμεν, γύναι, εἰπέ μοι·
where shall-we-flee woman tell me
εἰ γὰρ οὐ πάρεστιν ὁ ἀνήρ σου,
if for not is-present the husband your
ἀλλ᾽ οὐκ ἀπέστη νῦν ὁ κριτής μου·
but not departed now the judge my
κἂν οὐκ ἐφορᾷ με τῆς κλίνης ὁ κύριος,
even-if not oversees me of-the bed the lord
ἀλλὰ ἐφορᾷ με ὁ κρίνων τὰ κρύφια·
but oversees me the(-one) judging the hidden(-things)
πῶς οὖν λάθω τὸν ἐτάζοντα
how then shall-I-escape the(-one) searching
τὰς καρδίας καὶ νεφρούς;
the hearts and reins

καὶ αὐτὸς δὲ κινηθήσεται
and itself too will-be-moved
κατ᾽ ἐμοῦ ὁ οὐρανός·
against me the heaven
μάτην τοίχοις θαῤῥοῦμεν
in-vain in-walls we-trust
τοῖς μηδὲν ὠφελοῦσι·
the in-nothing helping
ἐπουράνια στέγη
heavenly roof
τὴν μοιχείαν οὐ στέγει·
the adultery not covers
πάντα γυμνὰ
all(-things) naked
ὑπάρχει καὶ πρόδηλα
are and manifest
τῷ τὰ κρυπτὰ
to-the(-one) the hidden
γινώσκοντι πταίσματα,
knowing faults
ὅθεν ἐγὼ
whence I
οὐκ ἀνέχομαι πρᾶξαι
not endure to-do
τὸ πονηρὸν
the wicked(-thing)
ἐναντίον Κυρίου,
before (the)-Lord

ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

Ὑπὸ τούτων τῶν λόγων
By these the words
ἡ μαινὰς ἐκκαυθεῖσα,
the maenad inflamed
τῷ σώφρονι ἐπέρχεται ἄφνω,
on-the chaste(-man) comes-upon suddenly
καὶ τὸν τούτου χιτῶνα κρατεῖ,
and the his tunic holds
καὶ βιαίως σύρει
and violently drags
τὸν σεμνόν, λέγουσα·
the seemly(-one) saying
Ἐπάκουσόν μου, φίλτατε, καὶ δεῦρο, συνομίλησόν μοι.
Listen-to me dearest and come converse with-me
Ἔνθεν κἀκεῖθεν ἡ Αἰγυπτία,
Hither and-thither the Egyptian(-woman)
πάλιν ἡ Χάρις ἀνθεῖλκε τοῦτον.
again the Grace drew-back him
Αὕτη μὲν ἐβόα· Ἐμοὶ συγκοιμήθητι·
She indeed cried With-me sleep
Ἄνωθεν ἡ Χάρις· Ἐμοὶ συγγρηγόρησον.
From-above the Grace With-me keep-watch

Μετ᾽ ἐκείνης ὁ Διάβολος
With her the Devil
ἠγωνίζετο πικρῶς,
contended bitterly
καὶ χερσὶ σφοδρῶς κατέσφιγγε
and with-hands violently bound
νῦν τὸν νέον Ἰωσήφ·
now the young Joseph
πάλιν ἡ σωφροσύνη
again the chastity
ἐκινεῖτο πρὸς πάλην,
was-moved to wrestling
προσεπάγουσα τούτῳ
bringing-up to-him
τὰ κρατήματα ταύτης,
the holds of-her
ἔλεγε δέ·
said and
Ῥαγῇ τὸ ἱμάτιον,
Let-be-torn the garment
καὶ μὴ φθαρῇ
and not be-corrupted
τὸ σῶμα τοῦ σώφρονος.
the body of-the chaste(-one)
Λήψεται γὰρ
He-will-receive for
παρὰ τοῦ ἀθλοθέτου,
from the president-of-the-games
ὡς νικητής,
as victor

ἔνδυμα ἀφθαρσίας;
(a)-garment of-incorruption
ὅτι πάντα ἐφορᾷ
for all(-things) oversees
τὸ ἀκοίμητον ὄμμα.
the sleepless eye

V · JOSEPH AND HIS BROTHERS

Jacob grieves over the bloodied tunic, while Joseph, sold by his brothers, trusts in God. Joseph's dreams of the sheaves and the stars anger his brothers, who sell him and bring their father the bloodied tunic. In Egypt he flees Potiphar's wife, is cast into prison for his chastity, and interprets the dreams of the prisoners and of Pharaoh. Set over Egypt, he feeds the land in the famine, and his brothers come to bow before the man they sold. He calls them spies, keeps Simeon, and demands Benjamin, and Jacob grieves at sending him. Joseph has his cup hidden in Benjamin's sack and the brothers brought back; he then weeps, reveals himself, and sends for his father, and Jacob hastens to Egypt, where Joseph embraces him.

1 Ὁ Ἰακὼβ τῷ χιτῶνι συνεκόπτετο,
— Jacob with-the tunic was-cut-to-the-heart
οἱ ἀδελφοὶ ἀσπλαγχνίαν ἐπεδείξαντο·
the brothers heartlessness displayed
τὸν Ἰωσὴφ γὰρ δουλώσαντες
— Joseph for having-enslaved
τοῖς ἀνόμοις ἐπίπρασκον·
to-the lawless they-sold
ἀλλ' εἰς Θεὸν τὴν ἑαυτοῦ
but in God the his-own
πᾶσαν ἐλπίδα θέμενος,
all hope having-placed

καὶ βασιλείας δι' αὐτοῦ
and of-kingship through him
στέφος ἐφόρεσε, βοῶν·
(the)-crown he-wore crying
Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.
Great alone Lord the savior our

Ἀνθλήσωμεν, ἄνθρωποι, 2
Let-us-draw-up men
σωτήρια νάματα,
saving streams
καρδίας εὐφραίνοντα·
hearts gladdening
οἱ διψῶντες σωφροσύνην,
the(-ones) thirsting-for chastity
πορευθῶμεν ἐν τῷ λάκκῳ
let-us-go into the pit
τοῦ Ἰωσήφ.
— of-Joseph
Τούτου ὁ πίνων οὐ διψήσει οὐδέποτε,
Of-this the(-one) drinking not will-thirst ever
ἀθάνατον ὕδωρ βρύει ἐκεῖ. — Πῶς δὲ
deathless water gushes there How and
ἀθάνατον ἐκεῖ ὕδωρ πηγάζει (ἐρεῖτέ μοι),
deathless there water springs you-will-say to-me
πάντως ὁ ἄνυδρος ὤν;
surely the waterless being

Ὁ ἐν τῷ Ἰωσὴφ
The(-one) in — Joseph
τύπος γενόμενος Χριστός,
type having-become Christ
αὐτὸς βρύων ποτίζει,
he gushing gives-drink
ὡς καὶ τὴν Σαμαρεῖτιν·
as also the Samaritan(-woman)
διὰ τοῦτο πίστει ἀῤῥυσώμεθα,
because-of this with-faith let-us-draw
ὑπάρχει γὰρ
he-is for
μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.
great alone Lord the savior our

3 Βασιλικοὶ στέφανοι
Royal crowns
κοσμοῦσι τοὺς σώφρονας,
adorn the chaste
ὀνείροις προσλάμποντες.
with-dreams shining-on(-them)
Διὰ τί δὲ δι' ὀνείρων
Because-of what and through dreams
προφητεύει τὰς ἐκβάσεις αὐτῶν,
prophesies the outcomes their
μάθε, πιστέ.
learn faithful(-one)
Χρηστῶν πολιτείας ἐπανάγων εἰς κρείττονα,
Of-good(-men) (the)-life leading-up to better

Θεὸς ζωγραφεῖ τὰς ἀρετάς· ὥσπερ οὖν
God paints the virtues as then
καὶ τὰ πονηρά, στηλογραφεῖ σοι τῶν
also the wicked(-things) engraves for-you of-the
πειρασμῶν εἰκόνας καθ' ὕπνον δηλῶν.
temptations images in sleep showing
Προτρέπων, νουθετῶν,
Exhorting admonishing
ἀσφαλίζεται πάντα·
he-secures all(-things)
ἀγρυπνῶν γὰρ ὁ πλάστης
keeping-awake for the fashioner
σὲ τειχίζει ὑπνοῦντα,
you walls-about sleeping
γνωριῶν ἤδη σοι μέλλοντα·
about-to-make-known now to-you (things)-to-come
ὑπάρχει γὰρ
he-is for
μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.
great alone Lord the savior our

Γραφὴ προϋπέστρωσε 4
Scripture spread-beforehand
τὸ σκάμμα τοῦ σώφρονος·
the arena of-the chaste(-man)
καὶ μάθωμεν, σώφρονες,
and let-us-learn chaste(-ones)
μιμησώμεθα τὸν νέον,
let-us-imitate the young(-man)

πῶς κατέσβεσε πορνείας τὸ πῦρ
how he-quenched of-fornication the fire
χόρτῳ σαρκός.
in-(the)-grass of-flesh
Οὐδέπω γὰρ ὄντως ἡ γραφὴ οὐκ ἀπέθανεν,
Not-yet for truly the scripture — died
ἀλλὰ διαμένει, ζῶσα ἀεὶ στηλὴ ἁγνείας.
but remains living always (a)-pillar of-purity
— Χαλκευθεὶς ὁ νεανίας τοὺς θέλοντας
Forged the young-man the(-ones) willing
διδάσκει ἁγνείαν φιλεῖν.
teaches purity to-love
Σαλπίζει ἡ γραφὴ
Trumpets the scripture
τοὺς πολέμους τοὺς σαρκικούς,
the wars the fleshly
ἵνα σοῦ παραστήσῃ
so-that for-you it-may-set-forth
τὸ ὅπλον τὸν παρθένον·
the weapon the virgin(-man)
ἀλλὰ καὶ ταύτην ἀγαπήσαντες
but also her having-loved
κραυγάζωμεν·
let-us-cry-out
Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.
Great alone Lord the savior our

Δραγμὰς εἶδεν ἕνδεκα 5
Sheaves he-saw eleven
δραγμῇ ἣν ἐδέσμησεν
to-(the)-sheaf which he-bound
αὐτῇ προσκυνήσαντας·
to-it having-done-obeisance
καὶ ἁπλάστως διηγεῖται
and guilelessly relates
τῷ πατρὶ αὐτοῦ τὸ ὄναρ αὐτοῦ
to-the father his the dream his
ὁ Ἰωσήφ.
— Joseph
Καὶ ἔστησαν, γνώμην ὡς πληγέντες, οἱ
And they-stood in-mind as stricken the
σύγγονοι ἐπὶ τῇ ἐλπίδι τοῦ ἀδελφοῦ (ποῖοι
brothers at the hope of-the brother what-sort
δὲ φίλοι ἀδελφοί!) ἂν βασιλεύσῃ οὐ
but friends brothers if he-should-reign not
σπεύδει ὑπὲρ πάντας ἀνυψοῦν ἀδελφούς.
hastens above all to-exalt (his)-brothers
Ἀλλ' ὤτρυνεν αὐτοὺς
But spurred them
ἐν τῷ φθόνῳ ὁ Σατανᾶς,
in the envy — Satan

καὶ χορῷ συνημμένῳ
and in-(a)-chorus joined
(ὡς τῶν ἀποστόλων)
as of-the apostles
ἐμβαλὼν ζῆλον, ἀπεχώρησε
having-cast-in jealousy departed
κραυγάζοντα·
crying-out
Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.
Great alone Lord the savior our

6 Ἐνύπνιον δεύτερον
(A)-dream second
ἰδὼν τῷ πατρὶ αὐτοῦ
having-seen to-the father his
φησίν· ὅτι ἥλιος
he-says that (the)-sun
καὶ σελήνη καὶ ἄστερες
and moon and stars
προσεκύνουν με ῥυθμῷ, τῷ ἀριθμῷ
did-obeisance-to me in-rhythm the in-number
δέκα καὶ εἷς.
ten and one

Φαντάζει παιδίον βασιλεῦσαι, πειρώμενος
Fancies (the)-child to-reign trying
ὁ πρέσβυς ἀντέφη τῷ Ἰωσήφ· Μὰ
the old-man replied — to-Joseph By
καθεύδειν, ὡς ποιμὴν πρόβατα βόσκων! Βαρὺ
to-sleep as (a)-shepherd sheep feeding Grievous(-it-is)
προσκυνεῖσθαι υἱὸν ἐκ πατρός.
to-be-worshiped (a)-son by (a)-father
Χιτῶνα σοι δίδω,
(A)-tunic to-you I-give
τὸν ποικίλον, ἀντὶ λαμπρᾶς
the many-colored instead-of (a)-bright
πορφυρίδος, καὶ στέφους
purple(-robe) and crown
τὸν χορὸν τῶν συγγόνων,
the chorus of-the brothers
ὃν ἐμοὶ Κύριος χαρίσηται,
which to-me (the)-Lord may-grant
ὑπάρχει γὰρ
he-is for
μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.
great alone Lord the savior our

Ζητῆσαι τὰ πρόβατα, 7
To-seek the sheep
ἀρνίον μου, ἄπιθι,
lamb my go-away
πρὶν λύκοι σὲ ἔδωνται,
before wolves you devour

τῷ παιδὶ ἔφη ὁ πρέσβυς.
to-the child said the old-man
Καὶ δὴ ὥρμησε τῇ ποίμνῃ σπουδῇ
And indeed rushed to-the flock in-haste
ὁ Ἰωσήφ.
— *Joseph*
Ὅντινα ἰδόντες οἱ συναίμονες τρέχοντα
Whom having-seen the brothers running
καλῶς, φασίν· Ἦλθεν ὁ βασιλεύς·
well they-say Has-come the king
βάψωμεν αἵματι αὐτοῦ τὴν πορφυρίδα·
let-us-dye with-blood his the purple
ἐγκαινίσει πρόκενσον ἐν πυλαῖς νεκρῶν.
he-will-inaugurate (the)-procession at (the)-gates of-(the)-dead
Ῥουβὶμ δὲ συναλγῶν
Reuben but grieving-with(-him)
πάντας πείσας ῥίπτει αὐτὸν
all having-persuaded casts him
ἐν τῷ λάκκῳ, βοῶντα·
into the pit crying
Οἴ μοι! τῆς βασιλείας
Woe me of-the kingship
τοῦτο νῦν ἔστι τὸ παλάτιον;
this now is the palace
καὶ ἔκραξε·
and he-cried
Μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν.
Great Lord alone the savior our

Ἡ πρόθεσις ἔσφαγε 8
The purpose slaughtered
τὸ λογικὸν πρόβατον,
the rational sheep
καὶ δεῖπνον παρέθηκαν,
and dinner they-set-beside
μασασάμενοι τὰ μέλη,
having-chewed the limbs
ἐπεζήτησαν καὶ κέρδους τροφὴν
they-sought also of-gain food
οἱ ἀδελφοί·
the brothers
φησὶ γὰρ Ἰούδας τοῖς συγγόνοις.
says for Judah to-the brothers
(Βουλεύεται· πρατείτω τὸ μύρον τῶν ἀδελφῶν.
He-counsels let-him-sell the ointment of-the brothers
— Ὦ ἀπὸ ποσῶν γενεῶν λάμπει Ἰούδας!
O from how-many generations shines Judah
— Ὦ τῆς προδοσίας ἀρχαία εἰκών!) —
O of-the betrayal ancient image
καὶ εἴκοσι χρυσῶν
and for-twenty gold-pieces
διεπράθη ὁ συγγενής,
was-sold-off the kinsman
(ἄνευ τοῦ ἱματίου)
without the garment
δοθεὶς Ἰσμαηλίταις.
given to-Ishmaelites

Εἰ πωλεῖς, δὸς καὶ τὸ ἱμάτιον
If you-sell give also the garment
τῷ κράζοντι·
to-the(-one) crying
Μέγας μόνος Κύριος ὁ σωτὴρ ἡμῶν.
Great alone Lord the savior our

9 Θηρῶν ἀγριώτεροι
Than-beasts more-savage
οἱ ἀδελφοὶ ὤφθησαν,
the brothers appeared
τὸ τέλος πωλήσαντες,
the end having-sold
λεαινῶν μὴ συγχωρουσῶν
lionesses not allowing
ἀφαρπάσαι ἐξ ἀγκαλῶν ποτε
to-snatch from arms ever
σκύμνον αὐτῶν.
(the)-whelp their
Αἵματι ἐρίφου τὸν χιτῶνα μολύναντες,
With-blood of-(a)-kid the tunic having-defiled
προσήγαγον τοῦτον τῷ Ἰακώβ· ὃ βλέπων ὁ
they-brought it — to-Jacob which seeing the
γέρων, τὴν συμφορὰν πλείῳ καμίνου
old-man the misfortune more-than (a)-furnace
φλεγόμενος τὰ σπλάγχνα, τὸ τέκνον θρηνεῖ.
burning in-the bowels the child laments
Οἴ μοι, βοῶν, υἱέ!
Woe me crying son

ἀνηρήθης ὑπὸ θηρός,
you-were-slain by (a)-beast
ὁ χιτὼν σῶός ἐστι,
the tunic whole is
σὺ μόνος πῶς ἐβρώθης;
you alone how were-you-devoured
ποῦ τῶν σῶν σκήπτρων τὰ ὁράματα;
where of-the your scepters the visions
πῶς ἔκραγες·
how you-cried-out
Μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν;
Great Lord alone the savior our

Ἰδὼν ὁ νεώτερος· 10
Having-seen the younger
Δέσποτα (ἀφνίδιον
Master suddenly
ὡς γέρων παρίστατο,
as (an)-old-man stood-by
λέγων), ὀνειροπολοῦμαι,
saying I-am-dreaming
τὰς ἡμέρας καὶ τὰς νύκτας ἐμὲ
the days and the nights me
χρὴ καρτερεῖν.
it-is-needful to-endure

Δραγμῶν καὶ ἡλίου καὶ σελήνης
Of-sheaves and of-sun and of-moon
προσκύνησις, καὶ ἕνδεκα ἄστρων ἔδυσαν νῦν· δεῖ
(the)-obeisance and of-eleven stars set now it-is-needful
οὖν τὴν ὑπακοὴν τοῖς ἀδελφοῖς μου....
then the obedience to-the brothers my
οὐ λύω τῶν πατέρων δεσμοὺς εὐπρεπεῖς.
not I-loose of-the fathers bonds seemly
Εἰ γὰρ ὁ Ἰσαὰκ
If for — Isaac
εἰς θυσίαν ἑκὼν ἦξε,
to sacrifice willing came
πατρὶ μόνῳ προστάξας,
(his)-father alone having-commanded
πῶς ἐμὲ δουλωσάντων
how me having-enslaved
ἀδελφῶν δέκα μὴ ἀνέξομαι;
brothers ten not shall-I-endure
καὶ κράξομαι·
and I-will-cry
Μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν;
Great Lord alone the savior our

11 Κατέλαβεν Αἴγυπτον
Reached Egypt
ὁ λογικὸς ἥλιος,
the rational sun
ἐν γνόφῳ κρυπτόμενος·
in darkness hidden

ὡς ἐν ὁράσει δευτέρᾳ
as in vision second
ἀνατέλλει εἰς τὸν οἶκον, ὡς φῶς,
rises into the house as light
τοῦ Πετεφρί.
— of-Potiphar
Ἡ χάρις δὲ τούτου, πανταχοῦ ὡραΐζουσα,
The grace and of-him everywhere beautifying
ἀστράπτειν ἐποίει ταῖς ἀρεταῖς· ὅθεν
to-flash made(-him) with-the virtues whence
αὐτὸν ὁ Πετεφρὶς σώφρονα βλέπων,
him — Potiphar chaste seeing
χειροτονεῖ ἐπάνω αὐτὸν τῶν αὑτοῦ.
appoints over him of-the(-things) his-own
Ἀλλ' ἦλθεν ἡ γυνὴ
But came the wife
κάτω ῥίψαι τὸν ὑψηλόν,
down to-cast the lofty(-one)
ὥστε γὰρ λείπει Εὔα
as for lacks Eve
τὴν τοῦ ὄφεως γνώμην.
the of-the serpent mind
Ἥν, λαοί, πάλιν θεωρήσαντες,
Which peoples again having-beheld
κραυγάσωμεν·
let-us-cry-out
Μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν.
Great Lord alone the savior our

12 Λαμπρότητος ἄγαλμα
Of-brightness (an)-image
ὁρῶν τοῦτο γένναιον,
seeing this noble(-one)
χαυνοῦται ὡς γύναιον,
is-made-slack like (a)-little-woman
καὶ τὸν νέον κατεπάτει,
and the young(-man) trampled
προσκαλοῦσα εἰς τὴν κοίτην πεσεῖν
calling(-him) into the bed to-fall
τὴν τοῦ ἀνδρός.
the of-the husband
Αὐτὸς δὲ τὸ σθένος τῆς ἀνδρείας ὑπείληφε,
He but the strength of-the courage took-up
φυγῇ νικῶν πτῶμα τέχνῃ καλῇ, πρώτην
by-flight conquering (the)-fall by-art fair first
οὖν πάλην ἐξελθὼν ὁ νικηφόρος. Καὶ
then (the)-bout having-gone-out the victor And
πάλιν κατεπάτει αὐτὸν ἡ μαινάς·
again trampled him the maenad
καὶ εὑροῦσα μόνον
and having-found (him)-alone
ἐν τῇ οἴκῳ ἀμερίμνῃ,
in the house free-from-care
καὶ ἀλύσεως δίκην
and of-(a)-chain like
δράσεται τοῦ χιτῶνος.
will-seize the tunic

Ἀλλ᾽ αὐτὸς ἄνω βλέπων, οὕτως
But he upward looking thus
ἐκραύγασε·
cried-out
Μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν.
Great Lord alone the savior our

Μαρᾶναι· τὸ ἄνθος μου, 13
To-wither the flower my
τὸ ἄνθος τῆς χάριτος,
the flower of-the grace
ἐγὼ οὐκ ἀνέχομαι·
I not endure
καὶ κρατεῖς με τοῦ χιτῶνος,
and you-hold me by-the tunic
οὐ γυμνοῖς με σωφροσύνης, φησὶν
not you-strip me of-chastity says
ὁ Ἰωσήφ.
— Joseph
Μὴ νόμιζε, γῦναι, τὸ σφάλμα ἀκατόπτευτον.
Not think woman the slip unobserved
Θεὸς ἡμᾶς βλέπει ἐξ οὐρανοῦ. Γένος οὐκ
God us sees from heaven (The)-race not
οἶδεν Ἀβραὰμ μιγνῦσθαι πόρναις· μὴ
knows of-Abraham to-mingle with-harlots not
θελήσῃς τεφρῶσαι τὸν σὸν Πετεφρίν.
wish to-reduce-to-ashes the your Potiphar

Δεσπόζεις μου αὐτὴ
You-master me you
εἰς τὴν πρᾶσιν, ὁμολογῶ·
in the sale I-confess
ἀλλ' ἐγὼ εἰς τὴν πρᾶξιν
but I in the deed
σου δεσπόζω, ἐλπίζω
you master I-hope
εἰς Θεόν, ἔχε τὸν χιτῶνά μου·
in God keep the tunic my
ὑπάρχει γὰρ
he-is for
μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν.
great Lord alone the savior our

14 Νικήσας ὁ ἀῤῥηκτος
Having-conquered the unbreakable(-one)
πορνείας παλαίσματα,
of-fornication (the)-wrestlings
πηδᾷ ἐκ τοῦ σκάμματος
leaps from the arena
ὁ εὐσχήμων, ἐν τῇ γνώσει
the graceful(-one) in the knowledge
προσκυνῶν τὸν ἀγωνοθέτην Θεὸν
worshiping the president-of-the-games God
ὁ εὐστεφής.
the well-crowned(-one)
Ἀντὶ δὲ βραβείου εἰς φρουρὰν ἀποκλείεται.
Instead and of-(a)-prize into prison is-shut-up

Ἡ γὰρ Αἰγυπτία τέχνῃ πικρᾷ τὸν
The for Egyptian(-woman) by-art bitter the
Πετεφρὴν παρώξυνεν, ἐν συκοφαντίαις τὸ
Potiphar provoked in slanders the
σφάλμα ἀνακλῶσα τὸν εὐγενῆ,
slip bending-back-on the noble(-one)
δεικνύουσα αὐτῷ
showing him
τὸν χιτῶνα τοῦ Ἰωσήφ,
the tunic — of-Joseph
καὶ δακρύων πελάγει
and of-tears in-(a)-sea
πνιγομένη τῷ πόθῳ,
drowning in-the longing
εἰς τὴν εἱρκτὴν πείθει ἐκπεμφθῆναι,
into the prison persuades (him)-to-be-sent
κραυγάζοντα·
crying-out
Μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν.
Great Lord alone the savior our

Ξενοπρεπῶς ὤργισται, 15
Strangely he-is-enraged
καινοπρεπῶς μαίνεται
newly he-raves
ὁ ἀληθῶς μάγειρος·
the truly cook

πόθεν γὰρ αὐτῷ σοφία
whence for to-him wisdom
τῆς ἁγνείας παιδευθῆναι τὸν νοῦν;
of-the purity to-have-been-taught the mind
ὁ ἀμαθής,
the ignorant(-man)
εἰ φρόνησιν εἶχες, οὐκ ἂν τὸν δόλον ἔλαθε.
if prudence you-had not — the guile would-have-escaped(-you)
κριτὴς ἐγένου ἄφρων τῷ Ἰωσήφ. —
judge you-became senseless — to-Joseph
Μάρτυς ὑπάρχει ὁ χιτών. — Ποῦ οὖν
Witness is the tunic Where then
ὑπάρχει, ἐρεύνησον· καὶ βλέπε εἰ πιστή ἐστιν,
is-it search and see if faithful she-is
εἰ ἔφυγεν αὐτήν,
if he-fled her
πῶς κατέχει τούτου στολήν·
how she-holds of-him (the)-robe
ἀδικεῖν μὲν νομίζεις
to-wrong indeed you-think
τὸν ἐλεύθερον δοῦλον,
the free slave
ἀλλ' αὐτὸν ὄψῃ ὡς φῶς λάμποντα,
but him you-will-see as light shining
καὶ κράζοντα·
and crying
Μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν.
Great Lord alone the savior our

Οἰκεῖ δεσμωτήριον 16

Dwells-in (a)-prison

τὸ αἷμα τὸ τίμιον,

the blood the precious

ἀνθ' ὧν οὐκ ἠσέβησε,

in-return-for which not he-acted-impiously

καὶ γίνεται ξενοδόχος,

and becomes host

τὸν προπάτορα Ἀδὰμ ζωγραφῶν

the forefather Adam portraying

ἐν τῇ φρουρᾷ.

in the prison

Σοφῶς ἐθαυμάσθη διαλύων, τὸν μὲν

Wisely he-was-admired loosing the one

ἐπανάγων ἐν τῇ τιμῇ, τὸν δὲ κατάγων ἐν

leading-back into the honor the other leading-down among

νεκροῖς ταῖς ἑρμηνείαις· καὶ ὤφθη

(the)-dead by-the interpretations and appeared

προφήτης τοῖς δύο παισίν.

(a)-prophet to-the two servants

Τῇ δὲ ὑπομονῇ

By-the and endurance

φρουρᾶς ἔξω ἦν ἄνετος,

of-(the)-prison outside he-was free

καὶ γὰρ τῆς πορφυρίδος

and for of-the purple

σκυθρωπάζει ἡ ῥίζα,

is-sullen the root

ἣ καιρῷ ἔλαμπεν ὡς ἥλιος,

which in-season shone as (the)-sun

τῷ κράζοντι·
to-the(-one) crying
Μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν.
Great Lord alone the savior our

17 Πικρὸν θεασάμενος
Bitter having-beheld
ὁ Φαραὼ ὅραμα,
— Pharaoh (a)-vision
σοφοὺς μετεστείλατο,
(the)-wise summoned
καὶ φησίν αὐτοῖς· Κατ' ὄναρ
and says to-them In (a)-dream
ἐθεώρησα λιπαρούς, καλούς,
I-beheld sleek fair
βόας ἑπτά,
cows seven
καὶ ἄλλους ἰσχνούς τε καὶ λεπτούς, καὶ
and others lean both and thin and
καθήσθιον τοὺς εὐθαλεστέρους· καὶ μετ'
were-devouring the more-flourishing and after
αὐτοὺς εἶδον στάχυας ἑπτὰ πεπήρους
them I-saw ears seven maimed
πάνυ, καὶ ἀνεμοφθόρους ἑτέρους ἑπτά·
very and wind-blasted other seven
καὶ ἔτι τῶν μικρῶν
and still of-the small
τὰ μεγάλα ὤφθη τροφή.
the great appeared (as)-food

Πάντων ἀπορισάντων
All being-at-a-loss
τὸ ἐνύπνιον λῦσαι,
the dream to-loose
Ἰωσὴφ λύσας στέφος εἴληφε,
Joseph having-loosed (a)-crown has-taken
καὶ ἔκραξε·
and cried
μέγας Κύριος μόνος ὁ σωτὴρ ἡμῶν.
great Lord alone the savior our

and say to the women
Πόθεν τοῦτο, κόραι,
Whence this maidens
ἐμάθετε; ἢ τὸ θαῦμα
did-you-learn or the wonder
ἄγγελος εἶπεν;
(an)-angel told
Ναί! ἔφησαν,
Yes they-said
καὶ εἶπε, καὶ ἔδειξε,
both he-told and he-showed
καὶ ὁ τῶν ἀγγέλων
and the of-the angels
θεὸς καὶ πλάστης
God and fashioner
ὤφθη τῇ Μαρίᾳ,
appeared — to-Mary
καὶ ἔφη· Λέξον τοῖς ἐμοῖς·
and said Tell to-the mine
ἐγήγερται ὁ Κύριος.
has-been-raised the Lord
Δεῦτε οὖν,
Come then

ὡς κριοί,
like rams
καὶ ὡς ἀρνία
and like lambs
προβάτων, ἅπαντες
of-sheep all
σκιρτῶντες εἴπωμεν·
leaping let-us-say
ποιμὴν ἡμῶν, δεῦρο,
shepherd our hither
συνάγαγε ἡμᾶς,
gather us
τοὺς σκορπισθέντας
the(-ones) scattered
ὑπὸ δειλίας.
by timidity
Πατήσας δὲ
Having-trodden and
τὸν θάνατον,
the death
ἐπίστηθι
stand-by
τοῖς ποθοῦσί σε
the(-ones) longing-for you
ὁ τοῖς πεσοῦσιν
the(-one) to-the fallen
παρέχων ἀνάστασιν.
granting resurrection

Συναναστήτω σοι, σωτήρ, 26
Let-rise-with you savior
ἡ νεκρωθεῖσα ψυχή μου,
the deadened soul my
μὴ φθείρῃ ταύτην λύπη,
not let-destroy it grief
καὶ λοιπὸν εἰς λήθην ἔλθῃ
and henceforth into forgetfulness let-it-come
τῶν ᾀσμάτων τούτων,
of-the songs these
τῶν ταύτην ἁγιαζόντων·
the(-ones) it sanctifying
ὦ ἐλεήμων,
O merciful(-one)
λιταίνω σε,
I-entreat you
μὴ κατάλειπε
not forsake
τὸν ταῖς πλημμελείαις
the(-one) with-the offenses
κατεστιγμένον·
branded
ἐν γὰρ ἀνομίαις
in for iniquities
καὶ ἁμαρτίαις ταῖς ἐμαῖς
and sins the my
ἐκύησέ με μήτηρ μου.
conceived me mother my
ἅγιε,
holy(-one)

ἅγιε,

holy(-one)

καὶ φιλοικτίρμων,

and compassionate(-one)

ἁγιασθήτω σου

let-be-hallowed your

ἀεὶ τὸ ὄνομα,

always the name

ἐν τῷ στόματί μου,

in the mouth my

καὶ τοῖς χείλεσί μου,

and in-the lips my

ἐν τῇ φωνῇ μου,

in the voice my

καὶ τῇ ᾠδῇ μου·

and in-the song my

δὸς χάριν μοι

give grace to-me

κηρύττοντι

proclaiming

τοὺς ὕμνους σου,

the hymns your

ὅτι δύνασαι,

for you-are-able

ὁ τοῖς πεσοῦσιν

the(-one) to-the fallen

παρέχων ἀνάστασιν.

granting resurrection

The singer asks Christ, never parted from his disciples, to unite himself to those who long for him. Returned from the Mount of Olives to the upper room, the apostles pray with Peter for the promised Spirit, and the Spirit comes on them at Pentecost with a sound like a violent wind and tongues of fire that light their minds and do not burn. Peter bids them honor the wonder without prying, recalling the three youths unharmed in the furnace. Filled with the Spirit, the fishermen speak to every nation in its own tongue, and the crowd asks how Galileans learned the languages. Fishermen have become orators who proclaim one God, the Greeks and their philosophers are scorned, and the apostles have caught the world with the cross.

῞Οτε καταβάς, 1

When having-come-down

τὰς γλώσσας συνέχεε,

the tongues he-confounded

διεμέριζεν ἔθνη ὁ ὕψιστος·

divided (the)-nations the most-high

ὅτε τοῦ πυρὸς

when of-the fire

τὰς γλώσσας διένειμεν,

the tongues he-distributed

εἰς ἑνότητα πάντας ἐκάλεσε·

into unity all he-called

καὶ συμφώνως δοξάζωμεν

and in-concord let-us-glorify

τὸ πανάγιον Πνεῦμα.

the all-holy Spirit

2 Ταχεῖαν καὶ σταθηρὰν
Swift and steadfast
δίδου παραμυθίαν
give consolation
τοῖς δούλοις σου, Ἰησοῦ,
to-the servants your Jesus
ἐν τῷ ἀκηδιᾶσαι
in the to-grow-weary
τὰ πνεύματα ἡμῶν.
the spirits our
Μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν
Not be-parted from-the souls our
ἐν θλίψεσιν,
in afflictions
μὴ μακρύνου τῶν φρενῶν ἡμῶν
not be-far from-the minds our
ἐν περιστάσεσιν,
in straits
ἀλλ' ἀεὶ ἡμᾶς πρόφθασον,
but always us forestall
ἔγγισον ἡμῖν, ἔγγισον
draw-near to-us draw-near
ὁ πανταχοῦ·
the(-one) everywhere
ὥσπερ τοῖς ἀποστόλοις σου
as with-the apostles your
πάντοτε συνῆς,
always you-were-with(-them)

οὕτω καὶ τοῖς σε ποθοῦσιν
so also to-the(-ones) you longing-for
ἕνωσον σαυτόν, οἰκτίρμων,
unite yourself compassionate(-one)
ἵνα συνημμένοι σοι
so-that joined to-you
καὶ ὑμνῶμεν καὶ δοξολογῶμεν
both we-may-hymn and we-may-glorify
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Οὐκ ἐχωρίσθης, σωτήρ, 3
Not you-were-parted savior
τῶν μαθητῶν σου τότε,
from-the disciples your then
ὁδεύσας εἰς οὐρανούς·
having-journeyed to (the)-heavens
καὶ γὰρ τὰ ἄνω φθάσας,
and for the(-things) above having-reached
τὰ κάτω συνέχεις·
the(-things) below you-hold-together
οὔτε εἷς γὰρ τόπος δίχα σου,
not one for place(-is) without you
ἀχώρητε,
uncontainable(-one)
κἂν γὰρ γένηται, ἀπόλλυται
even-if for it-come-to-be it-perishes
καὶ ἀφανίζεται,
and is-blotted-out

καὶ ὡς Σόδομα γίνεται·
and like Sodom becomes
σὺ γὰρ ἵστης τὰ σύμπαντα,
you for set-up the universe
πάντων κρατῶν.
all(-things) ruling
Σὲ οὖν καὶ οἱ ἀπόστολοι
You then also the apostles
εἶχον ἐν ψυχαῖς·
had in (their)-souls
διὸ ἐκ τοῦ Ἐλαιῶνος,
wherefore from the Olive-grove
σοῦ ἀναληφθέντος, τότε
you having-been-taken-up then
κατῆλθον χορεύοντες,
they-came-down dancing
καὶ λέγοντες· Ταχὺ ἡμῖν πέμψον
and saying Swiftly to-us send
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

4 Ὑπέστρεψαν ἐν χαρᾷ
They-returned in joy
ἀπὸ τοῦ Ἐλαιῶνος
from the Olive-grove
οἱ ἕνδεκα μαθηταί·
the eleven disciples

Λουκᾶς δὲ τοῦτο γράφει
Luke and this writes
ὁ ἱεροφάντης,
the expounder-of-mysteries
ὅτι εἰς Ἰεροσόλυμα
that to Jerusalem
ἀνέλυσαν,
they-went-back
ὑπερῷον δὲ ἀνέβησαν,
(the)-upper-room and they-went-up-to
οὗπερ κατέμενον,
where they-were-staying
καὶ ἐμβάντες ἐκάθισαν
and having-entered sat
Πέτρος καὶ οἱ ἐπίλοιποι
Peter and the remaining(-ones)
τῶν μαθητῶν,
of-the disciples
ὧν ὁ Κηφᾶς, ὡς ἔξαρχος,
of-whom — Cephas as leader
εἶπε πρὸς αὐτούς·
said to them
Ἐρασταὶ τῆς βασιλείας,
Lovers of-the kingdom

ἄνω σχῶμεν τὰς καρδίας
up let-us-hold the hearts
πρὸς τὸν ὑποσχόμενον
to the(-one) having-promised
καὶ λέξαντα· Ἐγὼ ὑμῖν πέμψω
and having-said I to-you will-send
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Τοιαῦτα Πέτρος εἰπὼν
Such(-things) Peter having-said
τότε τοῖς ἀποστόλοις,
then to-the apostles
διήγειρεν εἰς εὐχήν,
roused(-them) to prayer
καὶ στὰς ἔμμεσος τούτων,
and having-stood in-the-midst of-them
ἐβόησε λέγων·
cried saying
Δεηθῶμεν, γόνυ κλίνωμεν,
Let-us-pray (the)-knee let-us-bend
αἰτήσωμεν,
let-us-ask
ἐκκλησίαν τὸ δωμάτιον
(a)-church the room
τοῦτο ποιήσωμεν·
this let-us-make
καὶ γὰρ ἔστι, καὶ δύναται·
and for it-is and it-can-be

κλαύσωμεν καὶ κραυγάσωμεν
let-us-weep and let-us-cry
πρὸς τὸν θεόν·
to — God
Πέμψον ἡμῖν τὸ Πνεῦμά σου
Send to-us the Spirit your
τὸ πανάγαθον,
the all-good
ἵν' ὁδηγήσῃ τοὺς πάντας
so-that it-may-guide the all
πρὸς τὴν γῆν σου τὴν εὐθεῖαν,
to the land your the straight
ἣν σὺ προητοίμασας
which you prepared-beforehand
τοῖς σέβουσι καὶ δοξολογοῦσι
for-the(-ones) revering and glorifying
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Ἀκούσαντες οὖν εὐθὺς 6
Having-heard then at-once
οἱ μετ' αὐτοῦ κληθέντες,
the(-ones) with him called
συνήθροισαν ἑαυτούς,
gathered themselves
ὡς πρὸς ποιμένα ἄρνες,
as to (a)-shepherd lambs
τῷ λόγῳ θελχθέντες,
by-the word charmed

καὶ σιγῶντες ὑπηγόρευον
and in-silence dictated
ἃ ηὔχοντο,
what they-prayed
καὶ δεήσεις ἐπανέτειναν
and petitions stretched-up
τῷ παντοκράτορι
to-the almighty
ταῦτα περιεχούσας που·
these(-things) containing somehow
Τῷ τῶν ἀγγέλων πρύτανι
To-the of-the angels president
καὶ βασιλεῖ,
and king
τῷ τῶν ἀνθρώπων ἄνακτι,
to-the of-the men lord
καὶ δημιουργῷ,
and creator
τῷ τῶν ἐν γῇ καὶ θαλάσσῃ
to-the(-one) the(-things) on earth and sea
μόνῳ νεύματι κρατοῦντι,
by-(a)-sole nod ruling
οἱ φίλοι καὶ δοῦλοί σου
the friends and slaves your
βοῶσί σοι· Ταχὺ ἡμῖν πέμψον
cry to-you Swiftly to-us send
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Πληρώσαντες οὖν εὐθὺς 7
Having-completed then at-once
τὰς ἑαυτῶν δεήσεις,
the of-themselves petitions
ὑπέγραψαν ἐν αὐταῖς,
they-signed in them
σφραγίσαντες τῇ πίστει,
having-sealed(-them) with-the faith
καὶ πέμψαντες ἄνω,
and having-sent(-them) up
ἃς ἀνέγνω ὁ διδάσκαλος,
which read the teacher
καὶ ἔφησεν·
and said
Αὐτεξούσιε Παράκλητε,
Self-governing Paraclete
μὴ κελευόμενος,
not being-commanded
ἀλλ᾽ ὡς θέλεις, κατάβηθι·
but as you-wish come-down
σὲ λοιπὸν γὰρ ἐκδέχονται
you henceforth for await
οἱ μαθηταί,
the disciples
οὕσπερ ἐγὼ συνήγαγον
whom I gathered
σοὶ καὶ τῷ Πατρί,
for-you and for-the Father
καὶ ἐξεπαίδευσα λέγων·
and I-taught saying

Μαθητεύσατε τὰ ἔθνη,
Make-disciples-of the nations
Πατέρα κηρύττοντες
(the)-Father proclaiming
καὶ σέβοντες Υἱόν, καὶ ὑμνοῦντες
and revering (the)-Son and hymning
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

8 Ἐπήκουσεν ὡς θεὸς
Hearkened as God
ὁ Παράκλητος τότε
the Paraclete then
τῶν δεομένων αὐτοῦ,
to-the(-ones) beseeching him
καὶ δὴ καταλαμβάνει
and indeed overtakes
αὐτοὺς εὐχομένους,
them praying
οὐδαμόθεν ἀφιστάμενος
from-nowhere departing
ὁ ἄφραστος·
the ineffable(-one)
οὐ γὰρ γέγονε μετάβασις
not for became (a)-change-of-place
ἡ συγκατάβασις,
the condescension
οὐδ' ὑπέμεινε μείωσιν·
nor it-underwent diminution

ἄνω γὰρ ἦν, καὶ κάτω ἦν,
above for it-was and below it-was
καὶ πανταχοῦ,
and everywhere
θεία γὰρ φύσις ἄφραστος
divine for nature(-is) ineffable
καὶ ἀναφής,
and untouchable
τοῖς ὀφθαλμοῖς οὐχ ὁρᾶται,
by-the eyes not it-is-seen
πίστει δὲ κατανοεῖται,
by-faith but is-perceived
χερσὶν οὐ κατέχεται,
by-hands not it-is-grasped
καρδίαις δὲ πισταῖς ψηλαφᾶται
by-hearts but faithful is-felt
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Εἱστήκεισαν ὁμαδόν, 9
They-stood together
συμπληρουμένης ἤδη
being-fulfilled already
ποτὲ τῆς πεντηκοστῆς,
at-length the Pentecost
εὐχαῖς προσκαρτεροῦντες
in-prayers persevering
οἱ ἕνδεκα τότε,
the eleven then

καὶ ὡς λέγει τὸ ἀνάγνωσμα
and as says the reading
τῶν πράξεων·
of-the Acts
Ὡς πνοῆς βιαίας ἄθροον
As of-(a)-blast violent suddenly
ἦχος ἐγένετο,
(a)-sound came-to-be
οὐρανόθεν κτυπούμενος,
from-heaven resounding
ὅλον δὲ τὸ δωμάτιον
whole and the room
ἐπλήρωσε,
it-filled
μᾶλλον δὲ καὶ κατέπληξε
rather and also it-struck-with-terror
τοὺς ἀγαπητούς·
the beloved(-ones)
διὸ ὡς σκάφος, τὸν οἶκον
wherefore as (a)-boat the house
σαλευόμενον ὁρῶντες,
being-shaken seeing
ἐβόων· Ὦ δέσποτα,
they-cried O master
κατάπαυσον τὴν ζάλην, καὶ πέμψον
stop the surge and send
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Νομίζοντες οἱ σοφοὶ 10
Thinking the wise(-men)
ὅλον τὸ ὑπερῷον
whole the upper-room
χαλᾶσθαι ἐκ τῆς πνοῆς,
to-be-loosened by the blast
συνέστειλαν ἐν φόβῳ
contracted in fear
τὰ ὄμματα πάντες,
the eyes all
καὶ ἰδοὺ γέγονεν ἕτερον
and behold came-to-be another(-thing)
φρικτότερον,
more-awesome
καὶ τῷ πρώτῳ φόβῳ δεύτερον
and on-the first fear (a)-second
τρόμον ἐπήγαγεν
trembling brought
τὰ ἐπάλληλα θαύματα·
the successive wonders
γλῶσσαι γὰρ πάλιν πύριναι
tongues for again fiery
τότ' ὤφθησαν,
then were-seen
καὶ ἐπὶ κάραις ἤρχοντο
and upon (the)-heads came
τῶν ἀγαπητῶν,
of-the beloved(-ones)
καὶ οὐ παρέφλεγον τρίχας,
and not they-scorched (the)-hairs

ἀλλ᾽ ἐφώτιζον τὰς φρένας,
but they-enlightened the minds
καὶ καθαριζούσας γὰρ
and cleansing for
καὶ καινιζούσας ἔπεμψε ταύτας
and renewing sent them
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

11 Ὁ Πέτρος δὲ κατιδὼν
— Peter and having-seen
τὰ γεγονότα πάντα,
the(-things) having-happened all
ἐβόησεν· Ἀδελφοί,
cried Brothers
τιμῶμεν ἃ ὁρῶμεν,
let-us-honor what we-see
μὴ ἐξερευνῶμεν,
not let-us-search-out
μήτις εἴπῃ· Τοῦτο τί ἐστι
lest-anyone say This what is
ὁρώμενον;
being-seen
ὑπερβαίνει γὰρ διάνοιαν
surpasses for (the)-understanding
τὸ ἐκτελούμενον,
the(-thing) being-accomplished
καὶ νικᾷ τὴν ἐνθύμησιν.
and conquers the reflection

Πνεῦμα καὶ πῦρ συνέζευκται,
Spirit and fire have-been-yoked-together
θαῦμα πιστόν!
(a)-wonder trustworthy
αὔρα καὶ φλὸξ συνήρτηται,
breeze and flame have-been-joined
θέαμα φρικτόν!
(a)-sight awesome
μετ᾽ ἀνέμων αἱ λαμπάδες,
with winds the lamps
μετὰ δρόσου οἱ σπινθῆρες!
with dew the sparks
τίς εἶδε; τίς ἤκουσε;
who saw who heard
τίς δύναται εἰπεῖν, ὃ παρέχει
who can tell what grants
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Ὑμεῖς οὖν, ἀγαπητοί, 12
You then beloved(-ones)
στῆτε, καὶ καθορᾶτε
stand and look-upon
ἀπεριέργως τὸ πῦρ,
without-prying the fire
ὃ ἔπεμψεν ἐξ ὕψους
which sent from on-high
ὁ ἐν τοῖς ὑψίστοις·
the(-one) in the highest

μὴ φοβεῖσθε, οὐ γὰρ φλέγουσιν
not fear not for burn
οἱ ἄνθρακες·
the coals
μὴ θαμβεῖσθε, ὅτι ἄκαυστον
not be-astounded because unburning
τοῦτο τὸ πῦρ ἐστιν.
this the fire is
Ἀλλ' ὡς φρόνιμοι, μνήσθητε
But as prudent(-ones) remember
πῶς πάλαι πῦρ ἐδέξατο
how of-old (a)-fire received
παῖδας τοὺς τρεῖς,
(the)-youths the three
πῶς οὐκ ἐκαύθη σώματα
how not were-burned (the)-bodies
τούτων, οὐδὲ θρίξ·
of-these nor (a)-hair
πῶς ἡ τοὺς τρεῖς δεξαμένη,
how the(-one) the three having-received
τέσσαρας αὐτοὺς ἐδείκνυ·
four them showed
σὺν τόκῳ ἀπέδωκεν
with interest gave-back
οὓς ἔλαβεν, ὅτι ἐφοβεῖτο
whom it-received because it-feared
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Ῥιψάτω οὖν, ἀδελφοί, 13
Let-cast-off then brothers
ὁ καθ᾽ εἷς ἡμῶν ἄρτι,
the(-one) by one of-us now
τὸν φόβον ἐκ τῆς ψυχῆς,
the fear from the soul
καὶ πόθον ἐνδειξάτω
and longing let-him-show
τῷ ἀναληφθέντι,
to-the(-one) taken-up
ὅτι οὕτως οὓς ἐκάλεσεν,
because thus whom he-called
ἠγάπησεν.
he-loved
Πάντα ἃ προεῖπεν ἅπασι,
All(-things) which he-foretold to-all
νῦν ἀπεπλήρωσε,
now he-has-fulfilled
καὶ ὡς εἶπεν, ἐποίησε·
and as he-said he-did
τί δειλιῶμεν ἄφλεκτον
why do-we-fear unburning
φλόγα λοιπόν;
flame henceforth
Ῥόδα τὸ πῦρ νομίσωμεν,
Roses the fire let-us-consider
ὅπερ καὶ ἐστίν·
which also it-is

ἐπὶ ἡμῶν γὰρ ταῖς κάραις
on our for the heads
ὥσπερ ἄνθη ἐπετέθη,
like flowers it-was-set
ἐν οἷς ἐστεφάνωσεν,
in which crowned
ἐκόσμησεν, ἐλάμπρυνεν ἡμᾶς
adorned made-brilliant us
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

14 Ὡς εἶπε ταῦτα Κηφᾶς
When said these(-things) Cephas
πᾶσι τοῖς ἀποστόλοις,
to-all the apostles
ἡσύχασε μετ᾽ αὐτῶν
he-kept-quiet with them
καὶ δέχεται σὺν τούτοις
and receives with these
τὸ ἅγιον Πνεῦμα·
the holy Spirit
ἐληλύθει γὰρ μετέπειτα,
it-had-come for afterward
ὡς γέγραπται,
as it-is-written
ὡς προδρόμοις γὰρ χρησάμενον
as forerunners for having-used
δυσὶ τοῖς θαύμασι,
two the wonders

τοῦ πυρὸς καὶ τοῦ πνεύματος·
of-the fire and of-the wind
ἔδει γὰρ πρὸ τοῦ πνεύματος
it-was-needful for before the spirit
θαῦμα δραμεῖν·
(a)-wonder to-run
ἔδει πρὸ τοῦ βαπτίσματος
it-was-needful before the baptism
πνεῦμα προελθεῖν,
(a)-wind to-come-forth
καὶ προμηνύσαι τῷ κόσμῳ,
and to-announce-beforehand to-the world
ὥσπερ σάλπιγγα ἠχοῦσαν,
like (a)-trumpet sounding
ὅτι ὡς ἠθέλησε,
that as it-willed
καὶ βούλεται, τῇ γῇ ἐπιβαίνει
and wishes the earth steps-upon
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Μεγάλα ἦν καὶ φρικτὰ 15
Great were and awesome
πάντα τὰ γεγονότα,
all the(-things) having-happened
καὶ φρένας πάντων ἱστᾷ·
and (the)-minds of-all stops

πλησθέντες γὰρ ἐξαίφνης
having-been-filled for suddenly
τοῦ Πνεύματος πάντες·
with-the Spirit all
προσωμίλουν τοῖς ἀκούουσιν·
they-conversed-with the(-ones) listening
ὡς ἤκουον,
as they-heard
τοῖς Ῥωμαίοις, οὐχ ὡς βάρβαροι,
to-the Romans not as barbarians
Πάρθοις ὡς ὅμοιοι,
to-Parthians as like(-ones)
καὶ τοῖς Μήδοις ὡς ἴδιοι,
and to-the Medes as their-own
Ἐλαμίταις ὡς εὔλαλοι
to-Elamites as eloquent
τότ' ὤφθησαν,
then they-appeared
τοῖς Ἀραβίοις γνώριμοι
to-the Arabians known
γέγοναν πολύ,
they-became much
Ἀσιανοῖς καὶ Φρυγίοις
to-Asians and Phrygians
εὔδηλοι καὶ τρανολάλοι,
plain and clear-speaking

καὶ πᾶσι τοῖς ἔθνεσιν
and to-all the nations
ἐφθέγγοντο, ὡς τούτοις ἐδίδου
they-spoke as to-these gave
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

Ἀλλ' ὅτε εἶδον αὐτοὺς 16
But when saw them
γλώσσας λαλοῦντας πάσας
tongues speaking all
οἱ πανταχόθεν ἐκεῖ,
the(-ones) from-everywhere there
ἐξίσταντο βοῶντες·
they-were-amazed crying
Τί βούλεται ταῦτα;
What means these(-things)
Γαλιλαῖοι οἱ ἀπόστολοι
Galileans the apostles
ὑπάρχουσι,
are
καὶ πῶς ἄρτι, ὥσπερ βλέπομεν,
and how now as we-see
πᾶσι τοῖς ἔθνεσι
to-all the nations
πατριῶται γεγόνασιν;
fellow-countrymen have-they-become

πότε κατεῖδεν Αἴγυπτον
when saw Egypt
Πέτρος Κηφᾶς;
Peter Cephas
πότε Ἀνδρέας ᾤκησε
when Andrew dwelt-in
μέσην ποταμῶν;
(the)-midst of-(the)-rivers
οἱ δὲ υἱοὶ Ζεβεδαίου
the and sons of-Zebedee
πόθεν εἶδον Παμφυλίαν;
whence did-they-see Pamphylia
πῶς ταῦτα γνωρίσωμεν;
how these(-things) may-we-know
πῶς εἴπωμεν; ἦ πάντως ὡς θέλει
how may-we-say truly surely as wills
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

17 Νῦν γέγοναν σοφισταὶ
Now have-become sophists
οἱ ἀγρευταὶ τὸ πρώην·
the hunters the before
νῦν ῥήτορες καὶ τρανοὶ
now orators and clear(-speakers)
οἱ πρὶν παρὰ τὰς ὄχθας
the(-ones) formerly along the banks
τῶν λιμνῶν ἑστῶτες·
of-the lakes standing

οἱ τὸ πάρος καταῤῥάπτοντες
the(-ones) the formerly stitching
τὰ δίκτυα,
the nets
νῦν ῥητόρων πλοκὰς λύουσιν·
now of-orators (the)-tangles loose
ὅθεν προσέρχονται
whence they-come-forward
ἁπλουστέρῳ τῷ ῥήματι·
with-simpler the speech
ἕνα Λόγον γὰρ λέγουσιν
one Word for they-speak
ἀντὶ πολλῶν,
instead-of many
ἕνα Θεὸν κηρύττουσιν
one God they-proclaim
οὐ μετὰ πολλῶν,
not with many
τὸ ἓν ὡς ἓν προσκυνοῦσιν,
the one as one they-worship
ἀκατάληπτον Πατέρα,
incomprehensible Father
Υἱὸν ὁμοούσιον,
Son consubstantial
ἀμέριστον καὶ ὅμοιον τούτῳ
undivided and like to-this
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

18 Οὐκοῦν ἐδόθη αὐτοῖς
Then was-it-given to-them
πάντων περιγενέσθαι
all(-things) to-overcome
δι᾽ ὧν λαλοῦσι γλωσσῶν;
through which they-speak tongues
καὶ τί φιλονεικοῦσιν
and why do-they-contend
οἱ ἔξω ληροῦντες;
the(-ones) outside babbling
τί φυσῶσι καὶ βαμβαίνουσιν
why puff and stammer
οἱ Ἕλληνες;
the Greeks
τί φαντάζονται πρὸς Ἄρατον
why do-they-fancy about Aratus
τὸν τρισκατάρατον;
the thrice-accursed
τί πλανῶνται πρὸς Πλάτωνα;
why wander about Plato
Δημοσθένην τί στέργουσι
Demosthenes why do-they-cherish
τὸν ἀσθενῆ;
the weak
τί μὴ ὁρῶσιν Ὅμηρον
why not they-see Homer
ὄνειρον ἀργόν;
(a)-dream idle

τί Πυθαγόραν θρυλλοῦσι
why Pythagoras do-they-babble-of
τὸν δικαίως φιμωθέντα;
the(-one) justly muzzled
τί δὲ καὶ μὴ τρέχουσι,
why and also not run
καὶ σέβουσιν οἷς ἐνεφανίσθη
and revere those-to-whom appeared
τὸ πανάγιον Πνεῦμα;
the all-holy Spirit

Ὑμνήσωμεν, ἀδελφοί, 19
Let-us-hymn brothers
τῶν μαθητῶν τὰς γλώσσας,
of-the disciples the tongues
ὅτι οὐ λόγῳ κομψῷ,
because not by-word elegant
ἀλλ' ἐν δυνάμει θείᾳ
but in power divine
ἐζώγρησαν πάντας·
they-captured all
ὅτι ἦραν τὸν σταυρὸν Αὐτοῦ
because they-raised the cross His
ὡς κάλαμον·
as (a)-rod
ὅτι ῥήμασιν, ὡς νήμασι,
because words like threads
πάλιν ἐχρήσαντο,
again they-used

καὶ τὸν κόσμον ἡλίευσαν·
and the world they-fished
ὅτι τὸν λόγον ἄγκιστρον
because the word (as)-hook
ἔσχον ὀξύ·
they-had sharp
ὅτι καθάπερ δέλεαρ
because like bait
γέγονεν αὐτοῖς
became for-them
σὰρξ ἡ τοῦ πάντων δεσπότου,
(the)-flesh the of-the of-all master
οὐ πρὸς θάνατον θηρῶσα,
not to death hunting
ἀλλ' εἰς ζωὴν ἕλκουσα
but into life drawing
τοὺς σέβοντας καὶ δοξολογοῦντας
the(-ones) revering and glorifying
τὸ πανάγιον Πνεῦμα.
the all-holy Spirit

The whole world, speaking as one, offers the martyrs to God as the first fruits of creation, and the refrain calls on his mercy. The martyrs gather from every city to the festival, a church of the firstborn shining like stars in the firmament. Their blood, sown everywhere, blossoms with healings like roses without thorns. They spurned wealth, endured kings fiercer than beasts, and refused to taste the sacrifices; wild beasts grew tame before them and learned to revere them. The Devil emptied his quiver in vain against soldiers standing on the rock. Having kept the faith and finished the race, they receive their crowns, and the singer asks God to be merciful through their prayers.

Ὡς ἀπαρχὰς τῆς φύσεως, 1

As first-fruits of-the nature

τῷ φυτουργῷ τῆς κτίσεως,

to-the planter of-the creation

ἡ οἰκουμένη προσφέρω σοι, Κύριε,

the inhabited-world I-offer to-you Lord

τοὺς θεοφόρους μάρτυρας·

the God-bearing martyrs

ταῖς αὐτῶν ἱκεσίαις,

by-the their supplications

ἐν εἰρήνῃ βαθείᾳ,

in peace deep

τὴν ἐκκλησίαν σου,

the church your

τὴν πολιτείαν σου

the commonwealth your

διὰ τῆς Θεοτόκου συντήρησον,

through the God-bearer preserve

πολυέλεε.

rich-in-mercy(-one)

2 Ὡς ἐλεήμων ὑπάρχων, Χριστὲ ὁ Θεός,
As merciful being Christ — God
τὰς τῶν μαρτύρων αἰκίσεις ἐδρόσισας,
the of-the martyrs tortures you-bedewed
τῶν διὰ σὲ τυράννοις
of-the(-ones) because-of you to-tyrants
τὴν πίστιν τρανωσάντων·
the faith having-made-clear
ἀλλ᾽ ὡς αὐτοῖς ἐδωρήσω τὴν εὐλογίαν
but as to-them you-gave the blessing
ὑπομονῆς ἐκ τῆς ἄνω θεογνωσίας,
of-endurance from the above knowledge-of-God
καὶ ἡμῖν πᾶσι, πολυέλεε.
also to-us all rich-in-mercy(-one)

3 Οἱ ἐν πάσῃ τῇ γῇ μαρτυρήσαντες,
The(-ones) in all the earth having-borne-witness
καὶ ἐν τοῖς οὐρανοῖς μετοικήσαντες,
and in the heavens having-migrated
οἱ τὰ πάθη Χριστοῦ μιμησάμενοι,
the(-ones) the sufferings of-Christ having-imitated
καὶ τὰ πάθη ἡμῶν ἀφαιρούμενοι,
and the passions our taking-away
ἐνταῦθα σήμερον ἀθροίζονται,
here today are-gathered
πρωτοτόκων δεικνύοντες ἐκκλησίαν,
of-(the)-firstborn showing (the)-church
ὡς τῆς ἄνω τὸν τύπον ἐπέχουσαν,
as of-the above the image holding

καὶ Χριστῷ ἐκβοῶσαν· Θεός μου εἶ σύ,
and to-Christ crying-out God my are you
[διὰ τῆς Θεοτόκου συντήρησον]
through the God-bearer preserve
πολυέλεε.
rich-in-mercy(-one)

Ἀπὸ πάσης συνήχθησαν πόλεως 4
From every were-gathered city
καὶ ἡμῶν πατριῶται γεγόνασιν,
and our fellow-countrymen have-become
ἐκ τοῦ κόσμου παντὸς ἐπεδήμησαν,
from the world whole they-came-to-dwell
καὶ τῷ κόσμῳ ἡμῖν συνευφραίνονται,
and with-the world us rejoice-together
τῆς πανηγύρεως συμμέτοχοι·
of-the festival partakers
σὺν τῇ ἄνω ἡ κάτω χορεύει κτίσις,
with the above the below dances creation
μεθ' ἡμῶν γὰρ βοῶσι καὶ ἄγγελοι·
with us for cry also (the)-angels
Θαυμαστὸς ἐν ἁγίοις σου εἶ ἀληθῶς,
Wonderful in saints your you-are truly
πολυέλεε.
rich-in-mercy(-one)

5 Ἱερὰν εὐωχίαν τελέσωμεν,
(A)-holy feast let-us-accomplish
οὐρανὸς τὰ ἐπίγεια γέγονεν·
heaven the earthly(-things) has-become
οἱ φωστῆρες ἐν τῷ στερεώματι,
the luminaries in the firmament
οἱ δὲ μάρτυρες ἐν τῷ πληρώματι
the and martyrs in the fullness
τῆς ἐκκλησίας ἀναλάμπουσι,
of-the church shine-forth
καὶ φωτίζουσι πᾶσαν τὴν οἰκουμένην,
and illumine all the inhabited-world
ἵνα λέγῃ λοιπὸν Δαυὶδ μεθ' ἡμῶν,
so-that may-say henceforth David with us
ὅτι ἔφαναν αἱ ἀστραπαί σου τῇ γῇ,
that shone the lightnings your on-the earth
πολυέλεε.
rich-in-mercy(-one)

6 Νῦν ἀκούσατε ξένα, καὶ ἴδετε
Now hear strange(-things) and see
θεῖα καὶ ἀσυλλόγιστα πράγματα·
divine and incalculable things
πανταχοῦ τῶν μαρτύρων τὰ αἵματα,
everywhere of-the martyrs the bloods
ὥσπερ ῥόδα μὴ ἔχοντα ἄκανθαν,
like roses not having (a)-thorn
σπαρέντα βρύουσιν ἰάματα,
having-been-sown gush-with healings

εὐωδίαν δὲ πνέουσι χαρισμάτων,
fragrance and breathe of-gifts
δι' ὧν ἐστὶ παθῶν ἡ ἀπαλλαγή,
through which is of-passions the release
καὶ βοᾶν τῷ Θεῷ· Ὑψηλή σου ἡ χείρ,
and to-cry — to-God Lofty your (is)-the hand
πολυέλεε.
rich-in-mercy(-one)

Οἱ ἀγῶνες ὑμῶν καὶ οἱ στέφανοι, 7
The contests your and the crowns
οἱ ἱδρῶτες ὑμῶν καὶ τὰ θαύματα,
the sweats your and the wonders
οὐδὲ λόγῳ ἑνὶ ὑπογράφονται,
not-even in-word one are-described
οὐδὲ τόπῳ ἑνὶ περιγράφονται.
nor in-place one are-circumscribed
Ἡ ἐκκλησία τούτοις ἥδεται
The church in-these delights
ὡς χρυσοῖς κροσσωτοῖς περιβεβλημένη,
as with-golden fringes clothed
καὶ παρέστηκέ σοι, ὡς βασίλισσα,
and stands-beside you as (a)-queen
βασιλεῖ ἀθανάτῳ, ἀφθάρτῳ Θεῷ,
to-(the)-king immortal incorruptible God
πολυέλεε.
rich-in-mercy(-one)

8 Συνεχῶς τῷ Θεῷ ἡμῶν ψάλλετε,
Continually — to-God our sing
δαψιλῶς γὰρ τὴν χάριν ἐξέχεεν,
abundantly for the grace he-poured-out
ἣν ποτε Ἰωὴλ προεκήρυξεν·
which once Joel proclaimed-beforehand
Ἐκχεῶ μου, φησίν, ἐκ τοῦ Πνεύματος
I-will-pour-out my he-says of the Spirit
ἐπὶ τοὺς δούλους μου καὶ δούλας μου·
upon the menservants my and maidservants my
ἡ γὰρ τούτου ἰσχὺς ἐν τοῖς αὐτῶν ἄθλοις
the for of-it strength in the their contests
ἐχορήγει καὶ λόγον καὶ δύναμιν,
supplied both word and power
κατὰ πάντων τῶν στομάτων τῶν κατὰ σοῦ,
against all the mouths the(-ones) against you
πολυέλεε.
rich-in-mercy(-one)

9 Ῥέων πλοῦτος αὐτοὺς οὐκ ἠπάτησε,
Flowing wealth them not deceived
τὴν γὰρ σοῦ βασιλείαν ἠγάπησαν
the for your kingdom they-loved
τῶν προσκαίρων τὴν λήθην ποιούμενοι,
of-the temporal(-things) the forgetting making
τῶν ἀφθάρτων τὴν μνήμην προέκριναν·
of-the incorruptible(-things) the memory they-preferred
ἐν οἷς ὁδεῦσαι ἐπειγόμενοι,
in which to-journey hastening

τὸ θανεῖν ἥπερ ζῆν μᾶλλον προετίμων,
the to-die than to-live rather they-preferred
ἵνα σε τὴν ζωὴν ἐμπορεύσονται,
so-that you the life they-will-purchase
καὶ τρυφήσουσιν οὐ παριόντων καλῶν,
and will-delight-in not passing-away goods
πολυέλεε.
rich-in-mercy(-one)

Ὠμοτάτων θηρῶν ἀγριώτεροι
Than-most-savage beasts fiercer
βασιλεῖς τοὺς ἁγίους σου, Κύριε,
kings the saints your Lord
ἀπειλαῖς καὶ θυμῷ ἐπερχόμενοι,
with-threats and wrath attacking
καὶ σφοδρῶς τῇ ὀργῇ βασανίζοντες,
and vehemently with-the anger torturing
ὡς λύκοι ἄρνας, διεσπάραττον.
like wolves lambs tore-apart
Ἀλλ' αὐτὸς ὁ ἀμνὸς τοῦ Θεοῦ καὶ ποιμήν,
But yourself the lamb — of-God and shepherd
τὴν βοήθειάν σου χορηγεῖς αὐτοῖς,
the help your you-supply to-them
διὰ σὲ γὰρ ὑπέμειναν τοὺς αἰκισμούς,
because-of you for they-endured the tortures
πολυέλεε.
rich-in-mercy(-one)

11 Μόνος λόγος ὁ σὸς ἐπεσπάσατο
Alone word the your drew
τοὺς ἁγίους ὀπίσω σου, Κύριε·
the saints after you Lord
ὡς γὰρ εἶπας· Ὁ θέλων μοι ἕπεσθαι,
as for you-said The(-one) wishing me to-follow
συγγενεῖς καὶ γονεῖς ἀπαρνήσηται,
kinsmen and parents let-him-deny
προθύμως πάντες ἀπετάξαντο,
eagerly all renounced
καὶ τῶν ὧδε γυμνοὶ ἠκολούθησάν σοι,
and of-the(-things) here naked followed you
τῇ εὐθείᾳ ὁδῷ καὶ πηγῇ ζωῆς,
the straight way and spring of-life
ἀδιστάκτῳ γνώμῃ πιστεύσαντες εἰς σέ,
with-undoubting mind having-believed in you
πολυέλεε.
rich-in-mercy(-one)

12 Ἀπὸ τῶν θυσιῶν ἀπογεύσασθαι
From the sacrifices to-taste
κατηνάγκαζον τούτους οἱ ἄθεσμοι·
compelled them the lawless(-ones)
ἀλλ᾽ αὐτὸ τὸ οὐράνιον δεῖπνόν σου
but itself the heavenly supper your
ψυχικοῖς ὀφθαλμοῖς προορώμενοι,
with-spiritual eyes foreseeing

εἰδώλων βρώσει οὐκ ἐμόλυναν
of-idols with-food not they-defiled
τὰ αἰνοῦντά σε χείλη καὶ εὐλογοῦντα,
the praising you lips and blessing
ἵνα σῶν ἀγαθῶν ὦσι κοινωνοί,
so-that of-your goods they-may-be sharers
ὧν ἠξίωσας, ἀγαθέ, σοὺς μαθητάς,
which you-deemed-worthy good(-one) your disciples
πολυέλεε.
rich-in-mercy(-one)

Ναρκησάντων θηρίων τὰ στόματα 13
Having-grown-numb of-beasts the mouths
οἱ ὁρῶντες ἐγένοντο ἔκθαμβοι·
the(-ones) seeing became astounded
πλησιάσαντα τούτων τοῖς σώμασιν,
having-come-near of-these to-the bodies
ἐκυμαίνοντο κείμενα δούλεια,
swelled lying slavish(-ly)
φιλίαν μᾶλλον ἀσπαζόμενα,
friendship rather welcoming
ἤπερ δρᾶσαί τι τοὺς ἁγίους τολμῶντα·
than to-do anything to-the saints daring
τὸ δὲ πῦρ μὴ φερτὸν χαλινοῖ αὐτά,
the and fire not bearable bridles them
ἐδιδάσκοντο γὰρ σέβεσθαι ἀθλητάς,
they-were-taught for to-revere (the)-athletes
πολυέλεε.
rich-in-mercy(-one)

14 Ὁ διάβολος τότε γὰρ πέπτωκε
The devil then for has-fallen
μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως·
with all his the power
τῶν βελῶν τὴν φαρέτραν ἐκένωσε,
of-the arrows the quiver he-emptied
καὶ τοὺς σοὺς στρατιώτας οὐκ ἔτρωσε·
and the your soldiers not he-wounded
κυμάτων σάλον ἐπανέστησε,
of-waves (a)-tossing he-raised-up
τοὺς δὲ ἱσταμένους ἐπὶ σὲ τὴν πέτραν
the(-ones) but standing upon you the rock
οὐ κατέβαλεν, οὐδὲ ἐσάλευσεν,
not he-threw-down nor shook
ἀσφαλῆ τὸν θεμέλιον ἔχοντας σέ,
safe the foundation having you
πολυέλεε.
rich-in-mercy(-one)

15 Ὑπομείναντες ὄντως ὑπέμειναν,
Having-endured truly they-endured
καὶ νομίμως ἀθλήσαντες ἤθλησαν,
and lawfully having-contended they-contended
τὸν ἀγῶνα καλῶς ἠγωνίσαντο,
the contest well they-fought
καὶ τὸν δρόμον εἰς τέλος ἐτέλεσαν,
and the race to (the)-end they-finished
τὴν πίστιν ἄμωμον ἐτήρησαν,
the faith blameless they-kept

ἀντὶ πασῶν δὲ τούτων τῶν ἀλγηδόνων,
instead-of all and these the pains
παρὰ σοῦ τοὺς στεφάνους ἐκδέχονται·
from you the crowns they-receive
ταῖς εὐχαῖς αὐτῶν ἵλεως γενοῦ ἡμῖν,
by-the prayers their merciful become to-us
πολυέλεε.
rich-in-mercy(-one)

IX · THE MISSION OF THE APOSTLES

Christ made the fishermen wiser than orators and sent them as heralds to all the earth. The singer asks to do what he teaches, as the apostles did, and praises them as fishermen who now catch men. After the resurrection Christ gathers them on the mountain and sends them to every nation, charging each in turn: Peter to remember his denial and pity sinners, Andrew to fish with the cross, John to dig channels for his spring, James to fear no plotters, Philip to proclaim the Father in the Son, Thomas to preach the wounds he touched, and Matthew to tax the devil. The apostles ask how unlettered men can face the nations, and he promises them power, his presence, and Paul for Judas. Strengthened, they confess him God.

Ὁ σοφίσας ὑπὲρ ῥήτορας τοὺς ἁλιεῖς, 1
The(-one) having-made-wise beyond orators the fishermen
καὶ ἐκπέμψας ὥσπερ κήρυκας πάσῃ τῇ γῇ,
and having-sent-forth like heralds to-all the earth
τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου,
by-the ineffable love-of-mankind your
Χριστὲ ὁ Θεός,
Christ — God
δι' αὐτῶν κραταίωσον τὴν ἐκκλησίαν σου,
through them strengthen the church your

καὶ τοῖς πιστοῖς κατάπεμψον τὴν εὐλογίαν σου,
and to-the faithful send-down the blessing your
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

2 Τοὺς ἀσφαλεῖς
The steadfast
καὶ θεοφθόγγους κήρυκας,
and God-voiced heralds
τὴν κορυφὴν
the summit
τῶν μαθητῶν σου, Κύριε,
of-the disciples your Lord
προσελάβου
you-received
εἰς ἀπόλαυσιν
into enjoyment
τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν·
of-the goods your and rest
τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον
the labors for of-those and the death
ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν,
you-accepted beyond every whole-burnt-offering
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου, 3
Make-clear my the tongue savior my
πλάτυνόν μου τὸ στόμα,
widen my the mouth
καὶ πληρώσας αὐτό,
and having-filled it
κατάνυξον τὴν καρδίαν μου,
pierce the heart my
ἵνα οἷς λέγω ἀκολουθήσω,
so-that what I-say I-may-follow
καὶ ἃ δῆθεν διδάσκω ποιήσω πρῶτος.
and what forsooth I-teach I-may-do first
Πᾶς γὰρ ποιῶν
Everyone for doing
καὶ διδάσκων, φησίν, οὗτος μέγας ἐστίν.
and teaching he-says this(-one) great is
Ἐὰν οὖν λέγων μὴ πράττω,
If then saying not I-do
ὡς χαλκὸς ὁ ἠχῶν λογισθήσομαι·
as brass the(-one) sounding I-will-be-reckoned
διὸ λαλεῖν τὰ δέοντα
wherefore to-speak the(-things) needful
καὶ ποιεῖν τὰ συμφέροντα δώρησαι,
and to-do the(-things) profitable grant
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

4 Οὕτω ποτὲ καὶ οἱ μαθηταί σου,
Thus once also the disciples your
ἐκτελέσαντες πρῶτον
having-fulfilled first
τὰ διδάγματά σου,
the teachings your
ἐδίδασκον ἅπερ ἔπραττον,
taught what they-did
πάσῃ δυνάμει ὁμοῦ κυροῦντες
with-all power together confirming
τὴν σὴν διδασκαλίαν τῇ πολιτείᾳ·
the your teaching by-the conduct
ἣν ὁ ὁρῶν
which the(-one) seeing
καὶ ζηλῶν, ὡς αὐτοί, οὗτος μέγας ἐστί·
and emulating as they this(-one) great is
γυμνοῦσθαι τῶν ἐν τῷ βίῳ,
to-be-stripped of-the(-things) in the life
καὶ τῶν ἄνω φροντίζειν ἑκάστοτε,
and of-the(-things) above to-take-thought always
σταυρὸν βαστάζειν ἐπ᾽ ὤμοισιν,
(a)-cross to-carry on (the)-shoulders
ἐντρυφᾶν τῷ θανεῖν, ὡς προσέταξας,
to-revel in-the to-die as you-commanded
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Ὕλῃ τοσαύτῃ τῶν ἐναρέτων
With-matter so-great of-the virtuous(-ones)
ὁ κατάλογος πάντων
the roll of-all
ἀποστόλων κομῶν,
apostles abounding
πᾶσαν τὴν γῆν εὐωδίασε,
all the earth made-fragrant
τὰ κλήματα τῆς Χριστοῦ ἀμπέλου,
the branches — of-Christ vine
τὸ γεώργιον τοῦ ἄνω καλλιέργου·
the tillage of-the above vinedresser
οἱ πρὸ Χριστοῦ
the(-ones) before Christ
ἁλιεῖς, καὶ μετὰ τὸν Χριστὸν ἁλιεῖς·
fishermen and after — Christ fishermen
οἱ ἅλμῃ συνομιλοῦντες,
the(-ones) with-brine conversing
καὶ γλυκὺ ῥῆμα νῦν ἐρευγόμενοι·
and sweet (a)-word now belching-forth
οἱ πρὶν ἰχθύας ἀγρεύοντες,
the(-ones) formerly fish catching
καὶ βροτοὺς νῦν θηρῶντες, ὡς ἔφησεν
and mortals now hunting as he-said
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

6 Τούτους τοὺς ἄρνας ὁ ἀγελάρχης
These the lambs the leader-of-the-flock
οὓς ἐσκόρπισε φόβος,
whom scattered fear
ἐν καιρῷ τοῦ σταυροῦ,
at (the)-time of-the cross
συνήγαγε μετ᾽ ἀνάστασιν·
gathered after (the)-resurrection
στὰς γὰρ εἰς ὕψος ἐπὶ τοῦ ὄρους,
having-stood for on (a)-height upon the mountain
ἐκελάδησε μέλος γλυκύ, τῇ ποίμνῃ
he-sang (a)-song sweet to-the flock
θάρσος διδούς,
courage giving
καὶ μικρόν, ὥσπερ δειλοῖς, αἰνιττόμενος,
and (a)-little as to-cowards speaking-in-riddles
ἐβόα λέγων· Θαρσεῖτε,
he-cried saying Take-courage
ἐγὼ μόνος τὸν κόσμον νενίκηκα,
I alone the world have-conquered
ἐγὼ τοὺς λύκους ἐσκόρπισα·
I the wolves scattered
μετ᾽ ἐμοῦ ἦν οὐδείς, ἐγὼ ἦν ὁ εἷς,
with me was no-one I was the one
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Ἄπιτε οὖν εἰς πάντα τὰ ἔθνη· 7
Go-away then into all the nations
μετανοίας τὸν σπόρον
of-repentance the seed
ἐμβαλόντες τῇ γῇ,
having-cast into-the earth
διδασκαλίαις ἀρδεύσατε.
with-teachings water(-it)
Βλέπε μοι, Πέτρε, πῶς ἐκπαιδεύεις·
See for-me Peter how you-teach
ἐννοῶν σου τὸ πταῖσμα, συμπάθει πᾶσι,
considering your the stumble sympathize-with all
μὴ αὐστηρῶς,
not harshly
δι᾽ ἐκείνην τὴν κόρην τὴν σείσασάν σε·
because-of that the maid the(-one) having-shaken you
ἐάν σοι τῦφος εἰσπέσῃ,
if into-you pride fall
τῆς φωνῆς τοῦ ἀλέκτορος ἄκουσον,
the voice of-the cock hear
καὶ τῶν δακρύων μνημόνευε,
and the tears remember
ὧν ἐγώ σε τοῖς ῥείθροις ἀπέπλυνα,
of-which I you with-the streams washed-clean
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

8 Πέτρε, φιλεῖς με; ποίει ἃ λέγω·
Peter do-you-love me do what I-say
ποίμαινέ μου τὴν ποίμνην,
shepherd my the flock
καὶ φιλῶν οὓς φιλῶ
and loving whom I-love
συμπάθει τοῖς ἁμαρτάνουσιν,
sympathize-with the(-ones) sinning
ὅρα μου τὴν πρὸς σὲ εὐσπλαγχνίαν,
see my the toward you compassion
ὡς σε τρὶς ἀρνησάμενον ἐδεξάμην.
how you thrice having-denied(-me) I-received
Ἔχεις λῃστὴν
You-have (a)-thief
θυρωρὸν παραδείσου θαῤῥύνοντά σε,
(as)-doorkeeper of-paradise encouraging you
ἐκείνῳ πέμπε οὓς θέλεις·
to-him send whom you-wish
δι᾽ ὑμῶν πρὸς ἐμὲ ἀναστρέφει Ἀδάμ,
through you to me returns Adam
βοῶν· Ὁ πλάστης, παράσχες μοι
crying The fashioner grant me
λῃστὴν πυλωρόν, κλειδοῦχον Κηφᾶν,
(the)-thief (as)-gatekeeper (the)-key-holder Cephas
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Ἴσχυέ μοι καὶ σύ, ὦ Ἀνδρέα! 9

Be-strong for-me also you O Andrew

ὥσπερ εὗρές με πρῶτος,

as you-found me first

εὑρεθεὶς παρ᾽ ἐμοῦ,

having-been-found by me

εὑρὲ καὶ σὺ τὸν πλανώμενον,

find also you the(-one) wandering

μὴ ἐπιλάθῃ τῆς πρώτης τέχνης·

not forget the first craft

ἐξ αὐτῆς σε εἰς ταύτην μεταπαιδεύσω·

from it you into this I-will-retrain

ὡς πρὶν γυμνὸς

as before naked

εἰς βυθόν, καὶ νυνὶ πρὸς τὸν βίον γυμνός·

into (the)-deep and now for the life naked

καλάμῳ πρὶν ἁλιεύων,

with-(a)-rod formerly fishing

τῷ σταυρῷ ἁλιεύειν διδάχθητι·

with-the cross to-fish be-taught

τῷ σκώληκι ἐδελέαζες,

with-the worm you-baited

τῇ σαρκί μου θηρᾶν παραγγέλλω σοι,

with-the flesh my to-hunt I-command you

ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

the(-one) alone knowing the(-things) in-the-heart

10 Νῦν δεῖξον ἔργον, ὦ Ἰωάννη!
Now show (the)-work O John
νυνὶ μάθωσι πάντες,
now let-learn all
ὡς οὐ μάτην τὸ πρὶν
that not in-vain the before
ἀνέκλινά σε τῷ στήθει μου·
I-made-recline you on-the breast my
ποίησον αὔλακας τῇ πηγῇ μου,
make furrows for-the spring my
ἧς τὰ νάματα ἤντλησεν ἡ στοργή σου·
whose the streams drew the affection your
ὄρυξόν μοι,
dig for-me
ὡς δικέλλῃ, τῇ σῇ γλώττῃ διέξοδον,
as with-(a)-mattock with-the your tongue (a)-channel
καὶ ἥξω ὡς ἂν ἐθέλῃς,
and I-will-come as — you-wish
καὶ ποτίσας μεθύσω τὸν σπόρον σου·
and having-watered I-will-drench the seed your
ὡς κόκκους, λόγους κατάβαλλε,
like grains words cast-down
καὶ αὐξήσας πληθύνω τὰ λήια σου,
and having-increased(-them) I-multiply the crops your
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Οὕτω καὶ σύ, Ἰάκωβε, πρᾶττε, 11
Thus also you James act
μὴ τὸ κήρυγμα λείψας,
not the preaching having-left
Ζεβεδαίου μνησθείς,
Zebedee having-remembered
οὗ πρὶν ἐμὲ προετίμησας·
whom before me you-preferred
οἶδα γὰρ πῶς ἀφῆκας ἐν σκάφῃ
I-know for how you-left in (the)-boat
τὸν γενέτην, τὸν πλάστην ἐμὲ ποθήσας·
the begetter the fashioner me having-longed-for
πλήρωσόν μου
fulfill my
τὴν βουλὴν μετὰ τῶν ὁμοδούλων σου,
the counsel with the fellow-slaves your
μὴ πτήξας τοὺς ἐπιβούλους·
not having-cowered-before the plotters
τὰς βουλὰς γὰρ αὐτῶν διεσκέδασα·
the counsels for their I-scattered
μαχαίραις σε ὅταν τέμνωσι,
with-swords you when they-cut
νόει τίς ὁ λόγχῃ νυγεὶς τὴν πλευράν,
consider who(-is) the(-one) by-(a)-lance pierced the side
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

12 Ὕπαγε, Φίλιππε, ἅμα τούτοις
Go Philip together-with these
κήρυξόν με, ὡς βλέπεις
proclaim me as you-see
καὶ ἀκούεις μου νῦν·
and hear me now
μὴ τοῦ Πατρός μου χωρίσῃς με,
not from-the Father my separate me
μὴ εἴπῃς, ὅτι τὸν γόνον εἶδον,
not say that the offspring I-saw
τὸν δὲ τούτου γενέτην οὐδ' ὅλως εἶδον.
the but his begetter not-even at-all I-saw
Ἔδειξά σοι
I-showed you
ἐν ἐμοὶ τὸν Πατέρα, κἀμὲ ἐν αὐτῷ·
in me the Father and-me in him
οὐκ ἦλθον πάρεξ ἐκείνου·
not I-came apart-from him
ὃ γὰρ θέλει, τελῶ, θέλω ὃ τελεῖ.
what for he-wills I-accomplish I-wish what he-accomplishes
ἐν τῷ αὐτῷ ἐσμεν Πνεύματι·
in the same we-are Spirit
τούτου κήρυκα, ῥήτορα πέμπω σε,
of-this (a)-herald (an)-orator I-send you
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Ῥήματα τῆς ποτε ἀπιστίας 13
Words of-the once unbelief
διὰ πίστεως ἄρτι
through faith now
ἀπαλείψας, Θωμᾶ,
having-wiped-out Thomas
κήρυξον ὃν ἐψηλάφησας·
proclaim whom you-touched
ἦλθε καιρὸς ὃν ἀεὶ ἐπόθεις,
has-come (the)-time which always you-longed-for
παρατάξασθαι δήμῳ τῷ τῶν Ἑβραίων·
to-draw-up-in-battle against-(the)-people the of-the Hebrews
ἔχεις σαφῶς
you-have clearly
τῆς ἐγέρσεώς μου τὰ ἐνέχυρα·
of-the rising my the pledges
τοὺς τύπους εἶδες τῶν ἥλων,
the marks you-saw of-the nails
καὶ τῆς λόγχης κατεῖδες τοὺς μώλωπας·
and of-the lance you-beheld the weals
οὐκ ἔστι σοι λοιπὸν πρόφασις,
not is for-you henceforth (a)-pretext
πᾶσαν γὰρ ἀφορμὴν περιήρουν σοι,
every for occasion I-was-removing for-you
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

14 Ὥσπερ τελώνης μεῖνον, Ματθαῖε·
Like (a)-tax-collector remain Matthew
καὶ τελώνει ἐκεῖνον
and tax that(-one)
τὸν ἐχθρὸν τοῦ Ἀδάμ,
the enemy — of-Adam
ὡς πρώην τοὺς διοδεύοντας·
as formerly the(-ones) passing-through
μὴ φείσῃ ἕως ἂν ἀπολάβῃς
not spare until — you-receive
καὶ τὸν ἔσχατον κοδράντην παρ᾽ ἐκείνου.
even the last farthing from him
Κάθου τηρῶν
Sit watching
τὴν ὁδὸν τὴν πρὸς τὸν ᾅδην ἀπάγουσαν,
the road the(-one) to the Hades leading-away
κἂν εὕρῃς τὸν ὀλετῆρα
and-if you-find the destroyer
ἀπὸ τῶν ἐμῶν ἐμπορευσάμενον,
from the my(-own) having-trafficked
ἐπίστηθι, καὶ τελώνισον,
stand-by and tax(-him)
καὶ γυμνὸν τοῦτον δεῖξον, ὡς λέγω σοι,
and naked him show as I-tell you
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Μίαν φωνὴν ἀφίημι πᾶσιν· 15
One voice I-send-forth to-all

ἵνα μὴ τὸν καθ' ἕνα
so-that not the(-one) by one

ἐκδιδάσκων κοπῶ,
teaching I-may-be-wearied

ἅπαξ λαλῶ τοῖς ἁγίοις μου·
once I-speak to-the saints my

Πορευθέντες εἰς πάντα τὸν κόσμον
Having-gone into all the world

μαθητεύσατε ἔθνη καὶ βασιλέας·
make-disciples-of nations and kings

πάντα γάρ μοι
all(-things) for to-me

παρεδόθη ὑπὸ τοῦ γεννήσαντός με,
were-handed-over by the(-one) having-begotten me

τὰ ἄνω ἅμα τοῖς κάτω,
the(-things) above together-with the(-things) below

ὧν καὶ πρὶν λαβεῖν σάρκα ἐδέσποζον
of-which also before to-take flesh I-was-master

καὶ νῦν πάντων βεβασίλευκα,
and now of-all I-have-become-king

καὶ ὑμᾶς ἱερὰν ἔχω σύγκλητον,
and you (as)-holy I-have senate

ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

16 Ἄπιτε οὖν εἰς πάντα τὰ ἔθνη·
Go-away then into all the nations
μετανοίας τὸν σπόρον
of-repentance the seed
ἐμβαλόντες τῇ γῇ,
having-cast into-the earth
διδασκαλίαις ἀρδεύσατε.
with-teachings water(-it)
— Τούτων δ' ἀκούσαντες οἱ συμμύσται,
These(-things) and having-heard the fellow-initiates
πρὸς ἀλλήλους ἑώρων, κινοῦντες κάρας·
at one-another looked shaking (their)-heads
Πόθεν ἡμῖν
Whence for-us
ἡ φωνὴ καὶ ἡ γλῶττα πρὸς πάντας λαλεῖν;
the voice and the tongue to all to-speak
ἰσχὺν δὲ τίς ἡμῖν δώσει
strength and who to-us will-give
ἀντιστῆναι λαοῖς καὶ ἔθνεσι
to-withstand peoples and nations
(ἀγράμματοι καὶ ἀπαίδευτοι,
unlettered and untaught
ἁλιεῖς ἀσθενεῖς), ὡς προσέταξας,
fishermen weak as you-commanded
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια;
the(-one) alone knowing the(-things) in-the-heart

Νῦν μὴ ταράσσεσθε τῇ καρδίᾳ, 17
Now not be-troubled in-the heart
μὴ θολώσῃ τὰς φρένας
not let-muddy the minds
ὑμῶν ὁ δυσμενής·
your the hostile(-one)
ὡς νήπιοι μὴ λογίζεσθε,
like infants not reason
γίνεσθε φρόνιμοι, ὡσεὶ ὄφεις·
become prudent as serpents
δι᾽ ὑμᾶς γὰρ ὡς ὄφις ἐγὼ ὑψώθην·
because-of you for like (a)-serpent I was-lifted-up
μὴ ἑαυτοὺς
not yourselves
ἐκφοβοῦντες, ἐμὸν κήρυγμα λείψατε,
frightening my preaching abandon
οὐ θέλω σθένει νικῆσαι,
not I-wish by-strength to-conquer
διὰ τῶν ἀσθενῶν περιγίνομαι·
through the weak(-ones) I-prevail
οὐ χαίρω τοῖς πλατωνίζουσι,
not I-rejoice in-the(-ones) Platonizing
τὰ μωρὰ γὰρ τοῦ κόσμου ἠγάπησα,
the foolish(-things) for of-the world I-loved
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

18 Ὅμως ὑμῖν καὶ δύναμιν δώσω,
Yet to-you also power I-will-give
δύναμιν ἐν τῷ πίπτειν
power in the to-fall
ἀνιστῶσαν πολλούς,
raising-up many
καὶ γλῶτταν δὲ τὴν σοφίζουσαν·
and (a)-tongue too the(-one) making-wise
τόμος ὑμῶν σοβεῖ Δημοσθένην,
(the)-volume your scares Demosthenes
καὶ ἡττῶνται Ἀθηναῖοι Γαλιλαίοις·
and are-defeated Athenians by-Galileans
παύσει λοιπὸν
will-stop henceforth
[Πέτρος, ὁ πρίν] Κηφᾶς, ἐξαγγέλλων ἐμέ,
Peter the formerly Cephas announcing me
ἀμέτρους λέξεις· καὶ μύθους
measureless phrases and myths
ἀμαυροῖ τὸ ῥητὸν τοῦ Μαραναθά·
dims the saying — of-Maranatha
ἡ Ναζαρὲτ δονεῖ Κόρινθον·
— Nazareth shakes Corinth
οἱ λαλοῦντες ὑμεῖς, ὁ πείθων ἐγώ,
the(-ones) speaking(-are) you the(-one) persuading I
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Ὕβρεσι πάντες ὑμᾶς πλυνοῦσι, 19
With-insults all you will-wash

φυλακαῖς ἐμβαλόντες
into-prisons having-cast(-you)

καὶ δεσμοῦντες πικρῶς,
and binding(-you) bitterly

τοῖς ἄρχουσι παραδώσουσιν·
to-the rulers will-hand(-you)-over

ἀλλ᾽ ὀρφανοὺς ὑμᾶς οὐκ ἐάσω·
but orphans you not I-will-leave

μεθ᾽ ὑμῶν γὰρ εἰμι μέχρι συντελείας·
with you for I-am until (the)-consummation

ὅταν κριταῖς
when before-judges

παραστῆτε, ὑμῶν μέσον με ὄψεσθε·
you-stand you in-(the)-midst me you-will-see

δεσμεῖσθε, καὶ συνδεσμοῦμαι·
you-are-bound and I-am-bound-with(-you)

σὺν ἐμοὶ δι᾽ ἐμὲ πάντα πάσχετε·
with me because-of me all(-things) you-suffer

ὑμεῖς τὴν γνώμην προτείνατε,
you the resolve put-forward

ὡς κἀγὼ δι᾽ ὑμῶν ἀγωνίζομαι,
as also-I through you I-contend

ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

20 Ὅτε δὲ ἤκουσαν τῶν ῥημάτων
When and they-heard the words
τοῦ σοφοῦ διδασκάλου
of-the wise teacher
οἱ σοφοὶ μαθηταί,
the wise disciples
πρὸς ταῦτα ἀνταπεκρίθησαν·
to these(-things) answered
Πάντα σκληρὰ ἡμῖν ἐπηγγείλω
All(-things) hard to-us you-promised
καὶ δειλίας ἀνάμεστα καὶ θανάτου·
and of-cowardice full and of-death
τούτων δὲ νῦν
from-these and now
ἐνομίζομεν φεύγειν κολλώμενοί σοι,
we-thought to-flee cleaving to-you
καὶ ἄρτι τοῖς σκληροτέροις
and now to-the harder(-things)
παραδίδως ἡμᾶς, ὁ σωτὴρ ἡμῶν·
you-hand-over us the savior our
ἐκάλεσας εἰς ἀνάπαυσιν,
you-called(-us) into rest
καὶ ἰδοὺ προαλείφεις εἰς ἄθλησιν,
and behold you-anoint-beforehand for contest
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Ψῆφος ὑμᾶς καλεῖ πρὸς ἀγῶνας· 21
(A)-decree you calls to contests
ὁ κανὼν τῆς ἀγάπης
the rule of-the love
ἀπαιτεῖ παρ᾽ ὑμῶν
demands from you
φιλίας ἔργον ἐνδείξασθαι·
of-friendship (a)-work to-show
πάθετε ὑπὲρ ἐμοῦ, ὡς φίλοι,
suffer for me as friends
ὡς κἀγὼ ὑπὲρ φίλων καὶ μὴ ὀφείλων·
as also-I for friends and not owing
χρέος οὐδὲν
debt none
οὐχ εὑρέθη καλοῦν ἐμὲ πρὸς θάνατον·
not was-found calling me to death
ἀλλ᾽ ὅμως κατεδεξάμην,
but yet I-consented
καὶ σταυρὸν ὡς χρεώστης ὑπέμεινα·
and (the)-cross like (a)-debtor I-endured
τὸ πατρικὸν ὑμῶν δάνειον
the ancestral your loan
ὁ ἀνεύθυνος θέλων ἀπέδωκα,
the(-one) unaccountable willing I-repaid
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

22 Ἄπιτε οὖν εἰς πάντα τὸν κόσμον·
Go-away then into all the world
μετανοίας τὸν σπόρον
of-repentance the seed
ἐμβαλόντες τῇ γῇ,
having-cast into-the earth
διδασκαλίαις ἀρδεύσατε.
with-teachings water(-it)
Βλέπετε μή τις μετανοήσας
See lest any(-one) having-repented
ἔξω τῆς ὑμετέρας σαγήνης μείνῃ·
outside of-the your dragnet remain
ὡς χαίρω γὰρ
how I-rejoice for
τοῖς ἐπιστρέφουσιν, οἴδατε καὶ ὑμεῖς,
over-the(-ones) turning-back you-know also you
ὡς εἴθ' ὁ εἷς ὁ προδούς με
how would-that the one the(-one) having-betrayed me
εἰς ἐμὲ μετὰ πρᾶσιν ὑπέστρεφε,
to me after (the)-sale had-returned
κἀγὼ αὐτοῦ τὸ ἁμάρτημα
and-I his the sin
ἐξαλείψας, ὑμῖν τοῦτον ἥνωσα,
having-wiped-out to-you him had-united
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.
the(-one) alone knowing the(-things) in-the-heart

Λύπην μισήσατε καὶ δειλίαν· 23

Grief hate and cowardice

αὐτὴ γὰρ παραπέμπει

it for escorts

τῷ θανάτῳ πολλούς,

to-the death many

ὡς ὁ Ἰούδας ἀπέδειξεν·

as — Judas showed

οἴδατε πῶς ἀγχόνης σχοινίον

you-know how of-(a)-noose (the)-rope

ἡ ἀπόγνωσις ἔπλεξε τῷ προδότῃ.

the despair plaited for-the traitor

Ὅμως κενὴ

Yet empty(-is)

καὶ ἐν τούτῳ ἡ τοῦ διαβόλου παγίς·

even in this the of-the devil snare

μικρὸν γὰρ καὶ ἀποτίσει·

little for and he-will-pay

ἀντὶ τοῦ Σκαριώτου τὸν Κίλικα,

instead-of the Iscariot the Cilician

ἀντὶ δολίου τὸν δόκιμον,

instead-of (the)-deceitful the approved

